# ΒΑΣΙΛΕΙΟΥ τοῦ ΜΑΚΕΔΟΝΟΣ

## ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΓΡΑΙΚΟ-ΡΩΜΑΙΩΝ

## ΚΕΦΑΛΑΙΑ ΠΑΡΑΙΝΕΤΙΚΑ Ξϛ.

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΥ ΥΙΟΝ

# ΛΕΟΝΤΑ ΤΟΝ ΣΟΦΟΝ

ΔΙΟΡΘΩΘΕΝΤΑ, ΚΑΙ ΜΕΤΑΤΥΠΩΘΕΝΤΑ ΠΡΟΣ ΧΡΗΣΙΝ
ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ,

*κατ' ἔγκρισιν τοῦ ἐπὶ τῶν ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίου ἐκπαιδεύσεως Β. Ὑπουργείου.*

ΥΠΟ

*Θ. ΧΟΪΔΑΝ*

*τοῦ Θεσσαλονικέως.*



ΕΝ ΑΘΗΝΑΙΣ,

*Τύποις Χ. Νικολαΐδου Φιλαδελφέως.*

(Παρὰ τῇ Πύλῃ τῆς Ἀγορᾶς.)

1848.

Ἐκτρέφετε τὰ τέκνα ὑμῶν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

(Παῦλος.)

Πᾶσα ψυχὴ ἀνουθέτητος, ἀθεράπευτος.

(Γρηγόρ. Ναζιανζ.)

Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία· μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί σοι.

(Σειράχ.)

ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΜΑΘΕΙΣ ΚΑΙ ΦΙΛΟΚΑΛΟΥΣ ΝΕΟΥΣ.

Ἐπειδὴ ὁ ἀσυμβούλευτος ἄνθρωπος εἶναι ὡς πλοῖον ἀκυβέρνητον κατὰ τὸν μέγαν Βασίλειον, καὶ πᾶσα ψυχὴ ἀνουθέτητος εἶναι ἀθεράπευτος κατὰ τὸν Θεολόγον Γρηγόριον, ἀναγκαῖον εἶναι, ἀγαπητοί μου νέοι, ν᾽ ἀναγινώσκητε μετὰ προσοχῆς συνεχῶς τὸ ἀνὰ χεῖράς σας βιβλιάριον, καὶ νὰ ἐγχαράττητε εἰς τὴν καρδίαν σας τὸ περιεχόμενόν του· οἱ γονεῖς σας, καὶ οἱ διδάσκαλοί σας δὲν δύνανται βέβαια νὰ σᾶς κάμωσι καλητέρας συμβουλὰς, τῶν ὁποίων αὐξάνει ἐπὶ πλέον τὴν βαρύτητα τὸ συμβουλεῦον πρόσωπον, χριστιανὸς αὐτοκράτωρ, καὶ ὁ ἐξ αὐτῶν ἐξαχθεὶς καρπὸς, αὐτοκράτωρ σοφός· τοιοῦτοι θέλετε ἀποβῇ καὶ σεῖς εἰς τὸν κύκλον σας, ἂν οἱ γονεῖς σας, καὶ οἱ διδάσκαλοί σας μάλιστα θελήσωσιν, ὡς ἐλπίζω, νὰ γίνωσι Βασίλειοι, καὶ ὑμεῖς Λέοντες· ἔρρωσθε.

Ἐν Ἀθήναις τὴν 10 Μαρτίου 1848

Ὁ Ἐκδότης.

*Θ. Χοϊδᾶς.*

*Πρὸς τὸ Σ. Ὑπουργεῖον τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίου Ἐκπαιδεύσεως.*

Κατὰ τὴν ὑπ' ἀριθ. 353 σεβαστὴν πρόσκλησιν τοῦ Ὑπουργείου παρατηρήσας τὸ χειρόγραφον τῶν παραινετικῶν κεφαλαίων Βασιλείου τοῦ Μακεδόνος, τῶν πρὸς τὸν ἑαυτοῦ υἱὸν Λ. τὸν Σοφὸν, νομίζω ταῦτα ὠφελιμώτατα, διά τε τὸ χριστιανικὸν πνεῦμα, καὶ διὰ τὸ ἠθικὸν, καὶ δι' ὅ,τι διδάσκονται παρὰ βασιλέως πατρὸς πρὸς υἱὸν συμβασιλεύοντα· ἀλλὰ διὰ νὰ ἦναι ἡ διδασκαλία καρποφόρος, πρέπει καὶ ὁ διδάξων νὰ ἦναι σεβάσμιος, καὶ ἱκανὸς νὰ ἀναπτύξῃ αὐτὰ, καὶ οἱ διδασκόμενοι ἐν ἡλικίᾳ κρίσεως, διὰ νὰ ἐννοῶσιν.

Ἐν Ἀθήναις τὴν 20 Φευρουαρίου 1848

Ὁ Εὐπειθέστατος
*Ν. Βάμβας.*

Ἀριθ Πρωτ. 9277

Ἀριθ. Διεκπ.

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

## ΤΟ ΥΠΟΥΡΓΕΙΟΝ

ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤ. ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ.

*Πρὸς τοὺς Γυμνασιάρχας, Σχολάρχας καὶ διδασκάλους τῶν Ἑλληνικῶν σχολείων τοῦ Βασιλείου.*

Τῶν εἰς τοὺς παῖδας διδασκομένων Ἑλληνικῶν μαθημάτων ἀγαθὸν μὲν καὶ ἡ εὐφράδεια τοῦ λόγου, καὶ τῶν περιόδων ἡ ἁρμονία, καὶ τῶν ὀνομάτων ἡ ἐκλογὴ, διότι συνειθίζουσιν ἡμᾶς ἐκ μικρᾶς ἡλικίας εἰς τὴν ἀρχαιοπρεπῆ χάριν τῆς προπατορικῆς γλώσσης· ἀλλ' ἡ ὑποτύπωσις τῶν πραγμάτων, καὶ τοῦ χαρακτῆρος ἡ κατὰ μικρὸν ἠθοποίησις, καὶ παραγγέλματα, εἰς ἀρετὴν προτρέποντα, καὶ γνῶμαι σοφαὶ, τὰ τοῦ βίου ἐξεικονίζουσαι, συνεργοῦσιν ἴσως πλειότερον εἰς τὸν κύριον σκοπὸν τῆς παιδείας, ἥτις φωτίζουσα τὸ πνεῦμα, πρέπει συγχρόνως νὰ ῥυθμίζῃ καὶ τὴν καρδίαν.

Καὶ ὅτι μὲν δι' ἀμφοτέρων τῶν πολυτίμων τούτων πλεονεκτημάτων ἀριστεύουσι τὰ τῶν ἐνδόξων ἡμῶν προγόνων συγγράμματα, ὁμολογούμενον. Τῆς ἠθικῆς ὅμως αἱ κοσμοσωτήριοι εἰσηγήσεις, ὡς ἀγαθὰ σπέρματα, ῥιζοῦνται βαθύτερον εἰς τὰς ἁπαλὰς τῶν νέων ψυχὰς, ὁ δ' ἐξ αὐτῶν καρπὸς συγκομίζεται πολύχους, καὶ ἄφθονος κατ' ἐξοχὴν διὰ τῆς ἀναγνώσεως τῶν ἱερῶν τῆς χριστιανικῆς εὐσεβείας βιβλίων.

Τῆς τοιαύτης ὀρθοδόξου φιλολογίας μικρὸν τεμάχιον, καὶ βασιλικῆς χειρὸς ἔργον, τὰ παραινετικὰ κεφάλαια Βασιλείου τοῦ Μακεδόνος, Ῥωμαίων δὲ αὐτοκράτορος, πρὸς τὸν υἱὸν αὐτοῦ Λέοντα τὸν σοφὸν, ὡς βρίθοντα

πλούτου ἰδεῶν χριστιανικῶν ἐνταὐτῷ καὶ ἠθικῆς, ἀναγνωρίζομεν διδακτικὸν βιβλίον κατ' ἔγκρισιν τῆς διορισθείσης ἐπιτροπῆς· συνιστῶντες δ' αὐτό, ἐπιθυμοῦμεν νὰ ἐξηγῆται εἰς τὰς κατωτέρας τάξεις τῶν μαθητῶν μετὰ πάσης τῆς δεούσης ἀναπτύξεως.

Ὁ Ὑπουργὸς

*Γ. ΓΛΑΡΑΚΗΣ.*

## ΠΕΡΙ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ

### ΕΚ ΤΩΝ ΤΟΥ ΖΩΝΑΡΑ ΚΑΙ ΚΕΔΡΗΝΟΥ.

Οὗτος ὁ Βασίλειος ἐκ Μακεδονίας μὲν ἦν, ἔφυ δ' ἐκ πατέρων ἀσήμων καὶ ἀφανῶν· ἡσθεὶς δ' ἐπὶ τούτῳ Μιχαὴλ ὁ αὐτοκράτωρ, (α) (ἦν γὰρ εὐειδής τε, καὶ εὐμήκης καὶ τὴν χεῖρα γενναῖος, βαθεῖάν τε τρέφων κόμην καὶ ταύτην οὖλην) Πρωτοστράτορα τὸν ἄνδρα ἐτίμησεν, ἔπειτα δὲ καὶ εἰσποιήσας αὐτὸν εἰς υἱόν, διάδημα μετὰ μικρὸν αὐτῷ περιέθηκεν· ἀναιρεθέντος δὲ τοῦ Μιχαὴλ, τὸ τῆς βασιλείας ἐνεδύσατο κράτος ὁ Βασίλειος, ὃς καλὰ πολλὰ, βασιλεύων, διεπράξατο, καὶ τελευταῖον κατὰ τὴν θήραν πληγεὶς τῷ τῆς ἐλάφου κέρατι, καὶ παρακινηθεὶς τὰ σπλάγχνα, ἐπεβίω μὲν, ἀλλ' οὐκ εἰς μακρὸν, ἀπεβίω δ' ἐντεῦθεν· συμβασιλεύσας μὲν τῷ Μιχαὴλ ἔτος ἓν, αὐταρχήσας δ' ἐννεακαίδεκα, τῷ υἱῷ Λέοντι τῷ φιλοσόφῳ καλουμένῳ, πρὸς ὃν ἔγραψε ταῦτα τὰ παραινετικά, τὴν βασιλείαν ἔλιπεν, ὄντι πρεσβυτέρῳ τῶν περιόντων υἱῶν.

*Ἐπίγραμμα*

Εἰς εἰκόνα Βασιλείου τοῦ Μακεδόνος.

Τοῖος ἔην πάντων Βασίλειος ἄριστος ἀνάκτων.
Αἰχμητὴς κρατερὸς Χριστοσεβὴς Βασιλεύς.

*Ἕτερον.*

Εἰς εἰκόνα Λέοντος Φιλοσόφου.

Τοῖος ἔην ὁ Λέων Βασιλείῳ πατρὶ ἐοικὼς,
Οὐ δέμας, ἀλλὰ φυὴν, καὶ φρένα, καὶ κραδίην.

*Φεδερ: Μορέλλος.*

---

(α) Μιχαὴλ Αὐτοκράτωρ υἱὸς Θεοφίλου Αὐτοκράτορος τοῦ Εἰκονομάχου ἐβασίλευσεν ἐν ἔτει 842 ἀπὸ Χ. Γ., κατέστρεψε δὲ τὸν βίον ἐν ἔτει 867, φονευθεὶς ὑπ' αὐτοῦ τοῦ Βασιλείου τοῦ Μακεδόνος διὰ τὰς κακοπραγίας του. (Ὅρα Ἐκκλησιαστ. Ἱστορ. Μελετ. Τόμ. Β'. Σελ. 272.

# ΒΑΣΙΛΕΙΟΥ

ΤΟΥ

# ΓΡΑΙΚΟ-ΡΩΜΑΙΩΝ ΒΑΣΙΛΕΩΣ

## ΚΕΦΑΛΑΙΑ ΠΑΡΑΙΝΕΤΙΚΑ ΞΣ'.

ΠΡΟΣ ΤΟΝ ΕΑΥΤΟΥ ΥΙΟΝ ΛΕΟΝΤΑ,

*ἔχοντα ἀκροστιχίδα,*

Βασίλειος ἐν Χριστῷ βασιλεὺς Ῥωμαίων Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ.

---

*Περὶ παιδείας.*

Κεφ. ά.

Βιωφελές τι χρῆμα, καὶ σπουδαιότατον οὐ μόνον βασιλεῦσιν, ἀλλὰ καὶ ἰδιώταις ἡ παίδευσις· καὶ γὰρ τοὺς κεκτημένους αὐτὴν καὶ κατὰ τὸ σῶμα, καὶ κατὰ τὴν ψυχὴν τὰ μέγιστα ὠφελεῖ· τὴν μὲν, διὰ τῆς μελέτης τῶν θείων λογίων, τὸ δὲ, διὰ τῆς γυμνασίας τῶν κοσμίων ἔργων· ταύτην οὖν σε, τέκνον ἠγαπημένον, ὁ πατὴρ ἐγὼ καὶ συμβασιλεὺς ἡγεμονεύουσαν τῆς βασιλείας ἔχειν νουθετῶ· αὕτη γὰρ καὶ βασιλείαν κοσμεῖ, καὶ τοὺς βασιλεύοντας ἀειμνήστους ἀποτελεῖ· ὥσπερ γὰρ ἡλίου ἐπὶ γῆς μὴ παρόντος, σκοτειναὶ τὰ πάντα καὶ ἀδιάκριτα, οὕτω καὶ παιδεύσεως ἐν ψυχῇ μὴ παρούσης, πεφυρμένα τὰ πάντα, καὶ ἀδιόρθωτα· δράξαι οὖν παιδείας, καὶ ἐπιτεύξῃ βίου τοῦ ἐναρέτου· μόνη γὰρ ἀρετὴ τῶν κτημάτων ἁπάντων ἀθάνατος.

*Περὶ πίστεως.*

## ΚΕΦ. β΄.

Ἀρχὴν τοῦ βίου παντὸς, καὶ θεμέλιον ὀχυρὸν κτῆσαι τὴν εἰς Χριστὸν πίστιν εἰλικρινῆ· προσκύνει Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, ἀδιαίρετον καὶ ἀσύγχυτον, τὸν ἕνα καὶ μόνον Θεόν· καὶ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ Λόγου πίστευε, δι' ἧς ὁ κόσμος ἐκ τῆς δουλείας τῆς φθορᾶς ἠλευθερώθη, καθὼς ὁ τῆς μητρός σου τῆς ἐκκλησίας ὅρος ἀναδιδάσκει· αὕτη τῶν ἀρετῶν πασῶν ἡ τελείωσις· αὕτη ἡ πίστις πάντων τῶν ἀγαθῶν τὸ κεφάλαιον· ταύτην οὖν ἔχε παρακαταθήκην ἄσυλον, ἥ σοι γέγονε τροφὸς ἀπὸ σπαργάνων αὐτῶν· ἐγώ σοι ὑπῆρξα διδάσκαλος· μή με καταισχύνῃς πατέρα φιλόστοργον· ὀφείλουσι γὰρ οἱ μὲν ζωγράφοι τοὺς χαρακτῆρας ἀναστηλοῦν, οἱ δὲ τῶν βασιλέων παῖδες ἔμπνοοι εἰκόνες τῆς τῶν πατέρων ἀποδείκνυσθαι ἀρετῆς.

*Περὶ τιμῆς Ἱερέων.*

## Κεφ. γ΄.

Σῷον ἔχε τὸ φρόνημα πρὸς τὰ ὀρθόδοξα δόγματα, καὶ τίμα περισσῶς τὴν μητέρα σου τὴν ἐκκλησίαν, ἥτις ἐν ἁγίῳ Πνεύματί σε ἐτιθηνήσατο, καὶ σὺν ἐμοὶ διὰ Χριστοῦ ἐν Θεῷ τῇ κεφαλῇ σου τὸ στέφος ἐπέθηκεν· εἰ γὰρ τοὺς σαρκικοὺς γονεῖς ὀφείλεις αἰδεῖσθαι, καὶ τιμᾷν, πολλῷ πλέον τοὺς ἐν πνεύματι Θεοῦ σε γεγεννηκότας ὑπερτιμᾷν· ἐκεῖνοι μὲν γὰρ πρόσκαιρον τὴν ζωὴν τοῖς τέκνοις χαρίζονται, οὗτοι δὲ τὴν αἰώνιον ζωὴν διὰ τῆς ἀναγεννήσεως προξενοῦσι· τίμησον οὖν τὴν ἐκκλησίαν, ἵνα τιμηθῇς παρὰ Θεοῦ, καὶ τοὺς Ἱερεῖς αἰδοῦ, οἷα πατέρας πνευματικοὺς, καὶ μεσίτας ἡμῶν πρὸς τὸν Θεόν· ἡ γὰρ τῶν

Ἱερέων τιμὴ εἰς Θεὸν ἀναφέρεται· ὥσπερ γὰρ διὰ σὲ τοὺς σοὺς ὑπηρέτας τιμᾶσθαι δίκαιον, οὕτω καὶ διὰ Θεὸν τοὺς αὐτοῦ Ἱερεῖς τιμᾶν ὅσιόν τί ἐστι· καὶ ὥσπερ ἡ εἰς αὐτοὺς τιμὴ ἐπὶ τὸν Θεὸν ἀναβαίνει, οὕτω καὶ ἡ εἰς αὐτοὺς ἀτιμία πολλῷ πλέον τὸν Θεὸν παροργίζει.

*Περὶ κρίσεως καὶ ἀνταποδόσεως.*

Κεφ. δ'.

Ἴσθι πιστεύειν τὸν κόσμον εἶναι φθαρτὸν, ἐπειδὴ καὶ γέγονε, μετὰ δὲ τὴν φθορὰν εἰς ἀφθαρσίαν πάλιν μεταποιούμενον· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γεγονότων εἰς τὸ μὴ εἶναι χωρήσει, κἂν τὸ τῆς ἁμαρτίας παράπτωμα ἅμα ἡμῖν, καὶ πᾶσαν τὴν κτίσιν τῇ διαλύσει συγκατεδίκασεν· ἄφθαρτον δὲ τὴν κτίσιν πάλιν, ἤγουν τὸν κόσμον ἀπεκδεχόμενος, καὶ νεκρῶν ἀνάστασιν ὁμολόγει, καὶ κρίσιν δικαίαν τῶν ἑκάστῳ βεβιωμένων ἀνάμενε· οὐδὲν γὰρ κακὸν ἀτιμώρητον τὴν θείαν διαφεύξεται δίκην, οὐδέ γε καλὸν ἀστεφάνωτον διαλάθῃ· μήτε γὰρ τὰ τῶν ἀγαθῶν γέρα λογίζου θνητὰ, μήτε μὴν τὰς τῶν φαύλων κολάσεις τέλος δέξασθαί ποτε· ἀμφότερα γὰρ αἰωνίαν ἔχει τὴν διαμονὴν, καὶ ἐν ἀμφοτέροις ἔσται τὸ ἀτελεύτητον.

*Περὶ ἐλεημοσύνης.*

Κεφ. ε.

Λύει καὶ ὅρον θανάτου ἡ ἐλεημοσύνη πολλάκις κατὰ τὸ φάσκον ῥητόν· καὶ χρημάτων γάρ, ὡς ἔοικεν, ἐστὶν ὠνητὴ ἡ ζωὴ, ὁπόταν ὁ Θεὸς διὰ τὴν ἡμετέραν ζωὴν καὶ σωτηρίαν δωροληπτήσῃ· πλοῦτον οὖν σκορπίζων θνητὸν ἐπὶ γῆς, πλοῦτον συνάγεις ἀθάνατον ἐν οὐρανῷ, καὶ προσπορίζεταί σοι καὶ τὰ ἐνταῦθα ἀγαθά· καὶ γὰρ ἀλη-

θῶς ἀδαπάνητός ἐστὶ τῆς εὐποιίας ὁ πλοῦτος· σκορπιζόμενος γὰρ συνάγεται, καὶ διδόμενος πάλιν λαμβάνεται, καί οὐ μόνον ἐντεῦθεν τοὺς κεκτημένους αὐτὸν πλουσίους ποιεῖ, ἀλλὰ κἀκεῖθεν μακαριστοὺς ἀποδείκνυσι.

*Περὶ ἐπιμελείας καὶ ἐγρηγόρσεως.*

Κεφ. ς'.

Ἔχε κατὰ νοῦν τοὺς γονικούς σου τρόπους διηνεκῶς, καὶ τούτοις τὸν σὸν βίον ἐπιμελῶς κατάρτιζε· οὐδὲ γὰρ ὀλιγώρως ἡμεῖς, οὐδὲ ῥαθύμως περὶ τοὺς ἀγῶνας διατελοῦμεν, ἀλλὰ τῆς ἀρετῆς εἰκόνες σοι προκεῖσθαι φιλονεικοῦμεν, ἐπίψογον μὲν τὸν ὄκνον ἡγούμενοι, ἐν ἐπαίνῳ δὲ τὸν πόνον ποιούμενοι· μηδὲ παρὰ καιρὸν χρῶ τοῖς πράγμασιν, ἀλλὰ γύμναζε σαυτὸν, ἀπολαύειν μὲν τῶν δοκούντων ἐν τῷ βίῳ ἀγαθῶν, ὡς θνητὸς, ἐπιμελεῖσθαι δὲ τυχεῖν τῶν μελλόντων, ὡς ἀθάνατος.

*Περὶ συναναστροφῆς χρησίμων ἀνδρῶν.*

Κεφ. ζ'.

Ἰατροῖς ψυχῶν ὁμίλει συνεχῶς, ἵνα εὐεκτεῖν ἔχῃς κατὰ ψυχήν· μάθοις γὰρ ἂν παρ' αὐτῶν, τίνων χρὴ πραγμάτων ὀρέγεσθαι, καὶ τίνων ἀπέχεσθαι, καὶ τίσι τῶν ἀνθρώπων συναναστρέφεσθαι, τίνας δὲ ἀποστρέφεσθαι, καὶ πῶς τὸν σὸν βίον οἰκονομήσεις, ἵνα μὴ συχνοῖς τοῖς νοσήμασι περιπέσῃς· εἰ γὰρ ταύτην τρίψεις τὴν ὁδὸν, τοῦ τῆς ἀρετῆς ἀκριβοῦς ὅρου γνησίως ἐφικέσθαι δυνηθήσῃ.

*Περὶ ἀρετῆς.*

Κεφ. ἡ.

Οὐχ οὕτω τὰ τοῦ κόσμου πάντα τερπνὰ, ὡς ὁ τῆς ἀ-

ρετῆς πλοῦτος τὸν Βασιλέα κοσμεῖ· τὸ μὲν γὰρ κάλλος, καὶ ἡ εὐπρέπεια ἢ νόσῳ, ἢ χρόνῳ μαραίνεται· πλοῦτος δὲ ῥᾳθυμίας, καὶ ἡδονῶν ὑπάρχει πατήρ· ῥώμη μὲν γὰρ τὰ μὲν σώματα ταῖς νίκαις κοσμεῖ, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπισκοτεῖ· ἡ δὲ κτῆσις τῆς ἀρετῆς, οἷς ἂν προσγένηται, καὶ πλούτου, καὶ εὐγενείας χρησιμωτέρα ἐστί· καὶ ἅπερ πολλάκις ἄλλοις ἀδύνατα δοκεῖ, αὕτη ταῦτα σὺν Θεῷ δυνατὰ παριστᾷ.

*Περὶ ἐπιθυμίας*

Κεφ. θ΄.

Σώματος ἐπιθυμία εὐμόρφου μή σου κατακρατήσῃ, ὅτι χώματος ὀλίγου ἄξιον τὸ τοιοῦτον· σῶμα γὰρ μετ᾽ ὀλίγον, χῶμα πάλιν ὀλίγον· μήτε οὖν ἐπ᾽ εὐγενείᾳ σώματος ἐπαρθῇς, μήτε μὴν δυσγένειαν ἐξουθενώσῃς, μήτε κάλλει ἀγρευθῇς, μήτε δυσμορφίαν ἀποστραφῇς, ἀλλ᾽ ὅρα τὸ κάλλος τὸ τῆς ψυχῆς, καὶ ἔρα τῷ πνεύματι τῆς ψυχῆς· ἔρως γὰρ ἐκεῖνος μόνος ἀληθὴς καὶ ἀθάνατος, οὐχ ὃς ἅμα τῷ τυχεῖν εὐθὺς ἀπογίνεται, ἀλλ᾽ ὃς μετὰ τὸ τυχεῖν μᾶλλον ἐπιγίνεται.

*Περὶ τῆς τῶν τρόπων ἀρετῆς.*

Κεφ. ί.

Ἔλαβες ἐκ Θεοῦ βασιλείαν· φύλαξον αὐτὴν ὡς παρακαταθήκην ἄσυλον· μὴ φαῦλος ὀφθῇς τοῦ δεδωρημένου σοι φύλαξ, μηδὲ ἀγενὴς, μηδὲ ἀνάξιον αὐτῆς διαπράξῃ· ἀλλ᾽ ὥσπερ βασιλεύειν τῶν λοιπῶν ἀνθρώπων προεκρίθης κατὰ τὴν ἀξίαν, οὕτω προτερεύειν τῶν ὑπὸ χεῖρα πάντων σπεῦδε καὶ κατ᾽ ἀρετήν· ἡ γὰρ ἀρετὴ κρείττων ἐστὶ

παντὸς ἀξιώματος· εἰ οὖν κατὰ μὲν τὸ ἀξίωμα κυριεύεις ἁπάντων, κατὰ δὲ τὴν ἀρετὴν ὑπό τινων κυριεύῃ, κατὰ μὲν τὸ ἔλαττον εἶ βασιλεὺς, κατὰ δὲ τὸ κρεῖττον οὐκ εἶ βασιλεὺς, ἀλλ᾽ ὑφ᾽ ἑτέρων βασιλευόμενος· μὴ οὖν νόθος γίνου δεσπότης ἐν τῷ ὑφ᾽ ἑτέρων κρατεῖσθαι, ἀλλὰ βασίλευε ἀληθῶς, ἐν τῷ πάντων κρατεῖν κατὰ τὸ μέρος τῆς ἀρετῆς.

*Περὶ σωφροσύνης.*

Κεφ. ιά.

Νίκας σοι καὶ τρόπαια κατ᾽ ἐχθρῶν τότε παρέξει ὁ Θεὸς, ὁπόταν αὐτὸς τρόπαια καὶ νίκας στήσῃς κατὰ τῶν παθῶν· νικῶντι γάρ σοι τοὺς ἀοράτους ἐχθροὺς, ἐπάναγκές ἐστι νικᾷν καὶ τοὺς ὁρατούς· ὃν γὰρ, ὡς ἀνδράποδον, αἱ ἡδοναὶ νικᾷν, καὶ παρασύρειν ἰσχύουσιν, οὐκ εὐδοκήσει ὁ Θεὸς ἐλευθερίας νίκαις τιμηθῆναί ποτε· ὃς δὲ τὴν κατὰ τῶν παθῶν νίκην τοῖς ἑκουσίοις ἀναδέξηται πόνοις, εἰς δεῖγμα σαφὲς τῆς τῶν μελλόντων ἀγαθῶν ἀντιδόσεως, καὶ τὴν κατ᾽ ἐχθρῶν νίκην, χρεωστικῶς αὐτῷ χορηγουμένην, κομιεῖται παρὰ Θεοῦ.

*Περὶ φίλων πιστῶν.*

Κεφ. ιβ΄.

Χαῖρε τοῖς σπουδάζουσι περὶ σὲ τῶν φίλων μᾶλλον, ὡς ἀληθέσιν, ἢ τοῖς γένει προσήκουσιν· ἡ μὲν γὰρ τοῦ γένους φιλία οὐκ ἐξ ἀρετῆς, ἀλλ᾽ ἐκ φύσεως περιγέγονεν, ἥτις οὐδὲ ἑκούσιος σὺν δίκῃ κριθείη, ἡ δὲ τῶν σπουδαίων φίλων ἐξ ἀρετῆς, καὶ γνώμης ἑκουσίου κατώρθωται περὶ σέ· κἀκείνη μὲν τὴν φύσιν ἔχει νόμον, αὕτη δὲ τὸν Θεόν· πολλῷ γὰρ κρείττων, ἐν χρείᾳ, καὶ ὁ τρόπος, τοῦ γένους, καὶ ἡ προαίρεσις, τῆς ἀνάγκης.

συγγενεῖς μὲν γὰρ συγγενέσι πολλάκις μικρῶν ἕνεκα χρημάτων ἐπεβούλευσαν, φίλοι δὲ ἀληθεῖς, τὸν κόσμον ἅπαντα παριδόντες, οὐδὲ τὴν ζωὴν αὐτὴν τῆς τῶν φίλων ἀγάπης προέκριναν.

*Περὶ ἀνδρίας καὶ φρονήσεως.*

Κεφ. ιγ'.

Ῥώμην σώματος καὶ τίμα καὶ ἀποδέχου, ἐὰν καὶ φρονήσει κοσμῆται· ὅσον γὰρ μετὰ φρονήσεως ὠφελεῖν δύναται, τοσοῦτον ἄνευ φρονήσεως βλάπτειν τοὺς ἔχοντας εἴωθεν. Ἰσχὺς γὰρ ἔμφρων, ἄνθρωπον χαρακτηρίζει, εἰ δὲ ἀφροσύνῃ ταύτῃ παρέπεται, θηρίον ἄλογον ἐξεικονίζει· ἀποδέχου τοίνυν μὴ τοὺς ἄφρονι ῥώμῃ, ἀλλὰ τούς ἔμφρονι χρωμένους· ἡ μὲν γὰρ μετ' ἀφροσύνης ῥώμη, θράσος λέγεται, ἡ δὲ μετὰ φρονήσεως, ἀνδρία.

*Περὶ ταπεινοφροσύνης.*

Κεφ. ιδ'.

Ἵλεων ἔχειν βούλει περὶ σὲ τὸν Θεόν; ἵλεως γενοῦ περὶ τοὺς ὑπηκόους καὶ αὐτός· κἂν γὰρ δεσπότης ἐκρίθης, ἀλλὰ καὶ σύνδουλος ὑπάρχεις· ἕνα γὰρ δεσπότην τῶν ὅλων καὶ μόνον κεκτήμεθα πάντες ἄνθρωποι, καὶ πηλὸς ἡμῶν τοῦ γένους εἷς ὑπάρχει προπάτωρ, κἂν κατ' ἀλλήλων οἱ χόες φυσώμεθα· μέμνησο τοίνυν ὁ ὑψηλὸς χοῦς σεαυτοῦ, καὶ εὖ ἴσθι, ὡς ὅπου δ' ἂν ὑψωθῇς ἀπὸ γῆς, πάντως πάλιν κατενεχθήσῃ πρὸς γῆν, καὶ οὐδέποτε κατὰ χοὸς ἐπαρθήσῃ ταπεινοῦ· μέμνησο τῶν σεαυτοῦ σφαλμάτων πρὸς Θεὸν, καὶ ἐπιλήσῃ τῶν τοῦ πλησίον σφαλμάτων πρὸς σέ.

*Περὶ φρονήσεως.*

Κεφ. ιέ.

Σκόπει κατὰ σεαυτὸν, ὅτι πᾶσιν ἀνθρώποις ἡ φρόνησις τιμιωτάτη καθέστηκε, πᾶσι δ' ὑπάρχει διὰ σπουδῆς· πάντες μὲν γὰρ αὐτὴν, ὡς ἀγαθὴν ἐπαινοῦσιν, οὐ πάντες δὲ κτήσασθαι πονοῦσι· δι' ὃ καὶ σπανιώτατον εὕροις ἂν τὸν ταύτην κτησάμενον· μὴ μόνον οὖν αὐτὸς σπουδάσῃς τὴν φρόνησιν σύνοικον ἔχειν, ἀλλὰ καὶ τὸν ταύτην κεκτημένον αἰδοῦ, καὶ τίμα· συναναστρέφου αὐτῷ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί· ἐκεῖνος γάρ σε δύναται μόνος ὠφελῆσαι τὰ μέγιστα εἰς ψυχήν· καὶ ἃ πολλάκις ἀμήχανά σοι δοκοῦσι πραχθῆναι ἐν περιστάσει, ταῦτα δι' αὐτοῦ ῥᾳδίως σὺν Θεῷ κατορθώσεις, ἢ γὰρ φρόνιμον εἶναί σε δεῖ, ἢ φρονίμοις συνέπεσθαι, ἐν οἷς ἀληθῶς, ὡς ἐπὶ θρόνου Θεὸς ἀναπαύεται.

*Περὶ ἀληθείας καὶ ψεύδους.*

Κεφ, ις'.

Τρόπος ἔστω σοι τοῦ λόγου πιστότερος, ἵνα μὴ μόνον λέγων, ἀλλὰ καὶ σιωπῶν, τὸ αἰδέσιμον ἔχῃς· ἀλλὰ μηδὲ τοὺς λόγῳ μὲν πιθανοὺς, ἔργῳ δὲ τοὺς λόγους μὴ βεβαιοῦντας ἀποδέχου· εἰσὶ γὰρ οἳ λόγοις μὲν ἀγαθοὶ, ἔργῳ δὲ καὶ λίαν ψυχροί· μήτε οὖν αὐτὸς εἶναι τοιοῦτος θέλε, μήτε μὴν ἑτέρους περὶ σὲ τοιούτους εἶναι καταδέχου, ἀλλ' ἐκείνους στέργε, καὶ οἰκειοῦ, οἵτινες οὐ κοσμοῦσι τοὺς τρόπους λόγῳ, ἀλλὰ τοὺς λόγους τρόπῳ· καὶ ἃ πάλιν πράττειν αἰσχύνῃ, ταῦτα λέγειν μὴ ἀναισχύντει· μηδὲ, ἃ λέγειν αἰσχύνῃ, ταῦτα πράττειν διαλογίζου.

*Περὶ Μελέτης τῶν θείων λογίων.*

Κεφ. ιζ'.

Ὥσπερ τὰ νεοθαλῆ τῶν φυτῶν, ἀρδευόμενα τοῖς ὕδασι, θάλλει, καὶ καρποφορεῖ, οὕτω καὶ ἡ σὴ διάνοια, τέκνον ἐμὸν, ἀρδευομένη ταῖς τῶν θείων λόγων μελέταις, ἔτι μᾶλλον αὐξηνθήσεται, καὶ καρποφορήσει τὰς ἀρετάς· σῶμα μὲν γὰρ αἱ κατάλληλοι τροφαὶ λιπαίνουσι, ψυχὴν δὲ οἱ πνευματικοὶ λόγοι διατρέφουσιν, ἀλλ' ἐκείνη μὲν ἡ τροφὴ μέχρι φάρυγγος ἡδύνει, καὶ φθορὰν αὔξει, καὶ ὑπὸ φθορᾶς δαπανᾶται, ἡ δὲ τῆς ψυχῆς τροφὴ ἀίδιον ἔχει τὴν εὐφροσύνην, καὶ ἀφθαρσίαν προξενεῖ, καὶ εἰς ἀφθαρσίαν μεταχωρεῖ· μελέτην οὖν ποιοῦ τῶν τοιούτων ὠφελίμων λόγων, ἵνα τοὺς ἐξ αὐτῶν καρποὺς τρυγήσῃς, καὶ καλῶς τὴν βασιλείαν διοικήσῃς.

*Περὶ βουλῆς.*

Κεφ. ιή.

Βουλῆς ἀρίστης οὐδὲν ἀσφαλέστερον, καὶ πράξεως ἀπροβουλεύτου οὐδὲν σφαλερώτερον· ἵνα οὖν μετ' ἀσφαλείας πράττῃς, ἃ βούλει, αἱροῦ, προβουλεύεσθαι, ἃ πράττεις· μετὰ μὲν γὰρ τὸ πρᾶξαι οὐκ ἔνι προβουλεύσασθαι, μετὰ δὲ τὸ βουλεύσασθαι δυνατόν σοι μεταβουλεύσασθαι· ὅρα οὖν ἑκάστου πράγματος τὸ τέλος, καὶ οὕτω τῆς πράξεως ἀπάρχου· συμβούλοις δὲ χρῶ τοῖς καλῶς περὶ τῶν οἰκείων βουλευσαμένοις καὶ διοικήσασιν, ἀλλὰ μὴ τοῖς κακῶς ἐξ ἀβουλίας τὰ ἑαυτῶν οἰκονομήσασιν· ὁ γὰρ κακῶς περὶ τῶν οἰκείων διατεθεὶς, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων· ἀλλὰ μηδὲ τοῖς ἀπείροις, περὶ ὧν βούλει πραγμάτων, ἀνακοινοῦ, μήτε μὴν τοῖς κολακείαις περὶ σὲ χρωμένοις· οἱ μὲν γὰρ, ὡς τυ-

φλοὶ, ἀνεπιστημόνως βουλεύσονται, οἱ δὲ κατὰ χάριν σοι προβουλεύσονται· ἀλλ' ἐκείνοις μάλιστα συμβουλεύου, οἳ καὶ περὶ τὸ ἐπίστασθαι περὶ τῶν πραγμάτων ὀρθῶς ἔχουσι, καὶ οἳ μάλιστα ἐπὶ τοῖς ἐσφαλμένοις σοι πολλάκις διελέγχειν εἰώθασι· μόνοι γὰρ οὗτοι καὶ φίλων, καὶ συμβούλων τάξιν πιστεύεσθαι ἄξιοι.

*Περὶ ἁγνείας.*

Κεφ. ιθ'.

Ἁγνὸν σεαυτοῦ τήρει μὴ μόνον τὸ σῶμα, ἀλλὰ καὶ αὐτὴν τὴν διάνοιαν· ὥσπερ γὰρ ὁ διεφθαρμένος βίος χωρίζει Θεοῦ, οὕτω καὶ ἡ ἐν ἁγνείᾳ ζωὴ οἰκειοῖ πρὸς Θεόν· ἔστω οὖν τὸ φῶς σου λαμπρὸν ἐνώπιον τῶν ὑπὸ χεῖρα, καὶ ἀγαθὴ γενοῦ τοῖς ὑπηκόοις εἰκών· εἰ γὰρ αὐτὸς τὴν ἁγνείαν οὐ τηρήσεις, ποίῳ προσώπῳ τοὺς ὑπὸ σὲ ταύτην ἔχειν νουθετήσεις; ἃ γὰρ ἄν σε πράττοντα θεωρῶσι, τὰ αὐτὰ καὶ αὐτοὶ πράττειν συνενεχθῶσι· πέφυκε γάρ πως ταῖς ἀρχαῖς συμμεταβάλλεσθαι τὸ ὑπήκοον· ὥσπερ οὖν, εἰμὴ καλῶς βιοῦν προαιρῇ, τῆς τῶν ὑπηκόων βλάβης αἴτιος ὑπάρξεις, οὕτω, τὴν ἁγνείαν μετὰ τῶν λοιπῶν ἀρετῶν ἐξασκῶν, πρόξενος τοῦ λαοῦ σου παντὸς τῆς σωτηρίας γενήσῃ, καὶ μέγαν σεαυτῷ τὸν μισθὸν ἐντεῦθεν περιποιήσῃ, τῷ μὴ μόνον σεαυτὸν ἄξιον Θεοῦ, ἀλλὰ καὶ τοὺς ὑπὸ χεῖρα γενέσθαι παρασκευάζειν.

*Περὶ τιμῆς Γονέων.*

Κεφ. κ'.

Στέφανον ἐκ Θεοῦ διὰ τῆς ἐμῆς ἐδέξω χειρός· ἄμειψαι τῷ δεδωκότι τὸ ἀντάξιον δῶρον· τίμησον Θεὸν, τὸν σὲ τιμήσαντα, διὰ τῆς εἰς τὸν γεγεννηκότα τιμῆς· ἐμὲ δὲ τιμήσεις, οὐ καθάπέρ τινες τῶν ὑπηκόων, ἢ γο-

νυπετῶν, ἢ δορυφορῶν, ἢ ἐπευφημῶν· ἀνάξια γὰρ ταῦτα βασιλέως ἀνδρός· ἀλλὰ τιμῶν μὲν τὴν ἀρετὴν, ἀσκῶν δὲ τὴν σωφροσύνην, κοσμῶν δέ σου τὸ ἦθος, σπουδάζων δὲ περὶ τοὺς λόγους, οἷς ἡ τῶν νέων καλλωπίζεται γνώμη, καὶ ἁπλῶς, οὕτω σεαυτὸν παρασκευάζων ἄξιον βασιλεύειν τῶν ἐπὶ γῆς, καὶ εἰκόνα τοῦ βασιλέως τῶν οὐρανῶν· μόνος γὰρ ὁ τῆς ἀρετῆς ἐφικέσθαι δυνάμενος, εἰκὼν τοῦ καταστήσαντος αὐτὸν Θεοῦ δικαίως κληθήσεται, καὶ μετὰ Θεὸν παρὰ τῶν ὑπηκόων εἰκότως ἀγαπηθήσεται, καὶ ὡς εὐεργέτης κοινὸς ἑαυτοῦ τε, καὶ τῶν ὑπ' αὐτὸν ἀξίως τιμηθήσεται.

*Περὶ Δικαιοσύνης.*

Κεφ. κά.

Ἵνα σου τὴν βασιλείαν ἄμεμπτον διαφυλάξῃς, ἅπερ ἂν ἑτέροις πράττουσιν ἐπιτιμήτης, ταῦτα πράττειν αὐτὸς μὴ ἐπιχειρήσῃς· δεινὸν γάρ πως τὸ ὑπήκοον τὰς τῶν ἀρχόντων πράξεις λογοθετεῖν· εἰ γὰρ τοῦτο φυλάξεις, δύο ταῦτα μέγιστα κατορθώσεις, καὶ σεαυτὸν ἀνέγκλητον παντὸς μώμου διατηρήσεις, καὶ τοὺς ὑπὸ χεῖρα διδάξεις, καὶ σιωπῶν, καὶ λέγων, πᾶσαν ἀσκεῖν ἀρετήν· εἰ δὲ ἐναντία, ὧν λέγεις, πράττεις, ἕξεις σου κατήγορον τὴν συνείδησιν· εἰ δὲ λέγων ἀγαθὰ, τὰ ὅμοια πράττεις, ἕξεις τοὺς λογοθετοῦντάς σου τὸν βίον ὁμοῦ καὶ μάρτυρας, καὶ μιμητάς σου τῆς καλοκἀγαθίας ἀπαραγράπτους.

*Περὶ Εὐεργεσίας.*

Κεφ. κβ'.

Λανθανέτωσε μηδεὶς τῶν παρὰ σοῦ δωρεὰς αἰτούντων, ἢ ἀξιώματα ἐπιζητούντων, καὶ τούτους ἀναμανθάνων, τοὺς ἀγαθοὺς εὖ ποίει· ἕξεις γὰρ ἀεὶ τὴν εὔνοιαν διὰ

παντὸς, ἢ μᾶλλον εἰπεῖν, ἀδιάπτωτον· ἄσυλος γὰρ θησαυρὸς παρ᾽ ἀνδρὶ σπουδαίῳ, καὶ πολλαπλασίων ἡ χάρις παρ᾽ αὐτοῖς ἐποφείλεται· ὁ δὲ τοὺς κακοὺς εὐεργετῶν, ἐγκόλπιον ἔχει τὸν ὄφιν, ἐν καιρῷ μὲν θαλπόμενον, ἐν καιρῷ δὲ τὸν εὐεργέτην ἰοβόλῳ δήγματι ἀμυνόμενον· ὥσπερ γὰρ οἱ ἀλλότριοι κύνες τῶν σιτιζόντων ξένων καθυλακτοῦσιν, οὕτως οἱ κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας, ἀδικοῦσιν· ἀγαθοὺς γὰρ εὐεργετῶν, ἕξεις σεαυτὸν πολλαπλοῦν, καὶ κτήσῃ μίαν ψυχὴν πολλῶν φίλων, καὶ ὀφθαλμῶν κύκλῳ διαφυλαττομένων.

*Περὶ Φίλων.*

## Κεφ. κγ΄.

Ἐκείνους κτῆσαι φίλους, καὶ θεράποντας οἰκειοτάτους, οἵτινες ἀγαθοὶ καὶ πρὸς ἑτέρους φίλους, ἢ δεσπότας προγεγονότες τυγχάνουσιν· ἃ γὰρ ἐν ἐκείνοις εἰργάσαντο, ταῦτα καὶ εἰς σὲ ποιῆσαι οὐ κατοκνήσουσιν· ὁ μὲν γὰρ σπουδαῖος περὶ τοὺς πάλαι φίλους γεγονὼς, σπουδαῖος ἂν καὶ περὶ σὲ γενέσθαι πιστευθήσεται, ὁ δὲ τοῖς προτέροις φίλοις, ἢ δεσπόταις ἄχρηστός τε, καὶ ῥάθυμος γεγονὼς, σχολῇ γε περὶ σὲ σπουδαῖος, καὶ χρήσιμός ποτε ὀφθείη.

*Περὶ Ὑπεροψίας χρημάτων.*

## Κεφ. κδ΄.

Ὑψηλὸν μὲν καὶ ἀδούλωτον τὸ τοῦ Βασιλέως δεικνύει φρόνημα, οὐ τοσοῦτον ὄγκος τοῦ ἀξιώματος, ὅσον ἡ τῶν χρημάτων ὑπεροψία· ἐν τούτῳ γὰρ μᾶλλον τὸ εὐγενὲς αὐτοῦ τῆς ψυχῆς καταφαίνεται· ὑπεροψία δὲ χρημάτων οὐ τὸ μάτην τοῖς βαλαντίοις ἐναποτίθεσθαι, ἀλλὰ τὸ δαψιλῶς ἐν ταῖς ἀναγκαίαις χρείαις αὐτὰ χορη-

γεῖν· ἀναγκαῖα δὲ βασιλεῖ, καὶ μᾶλλον τῶν ἄλλων, φίλους εὖ ποιεῖν, καὶ τοὺς ἐχθροὺς ἀμύνεσθαι, ὧν ἀμφοτέρων τὸ κατορθοῦν, ἡ τῶν χρημάτων δαπάνη· εἰ γοῦν καὶ αὐτὸς ὑψηλὸς ἐν πᾶσιν εἶναι βούλει, καὶ μάλιστα ἐν συνέσει, ὑπερόπτης γίνου χρημάτων· ἐπεὶ οὐδέ ἐστι τὰ σαυτοῦ ἴδια σὰ, ἀλλὰ τῶν συνδούλων τῶν σῶν, καὶ μάλιστα τῶν πενήτων, καὶ ξένων· φάνηθι τοίνυν ἴδιος εὐεργέτης ἐν τοῖς κοινοῖς, καὶ οὕτως ὑψηλὸς ἔσῃ, καὶ περίβλεπτος ἐν φρονήσει.

*Περὶ Μέθης.*

Κεφ. κέ.

Συνουσίας τὰς ἐν πότοις εὐλαβοῦ· μέθη γὰρ τῇ φρονήσει ἐναντίον τι χρῆμα, καὶ πολέμιον· ὅταν γὰρ ὁ νοῦς ὑπὸ τοῦ οἴνου τυραννηθῇ, ταὐτόν τι πάσχει τοῖς φαύλοις ἡνιόχοις, οἳ, τὸ ἅρμα κυβερνᾶν ἀδυνατοῦντες, καὶ ἑαυτοὺς, καὶ τοὺς ἵππους ὧδε, κἀκεῖσε περιφέρουσι, καὶ γέλωτα τοῖς ὁρῶσι μέγιστον ἐμποιοῦσιν· οὕτω δὲ πασχούσης τῆς διανοίας, ἀνάγκη καὶ τὴν ψυχὴν πολλὰ σφαλλομένην διατελεῖν.

*Περὶ κτήσεως φίλου.*

Κεφ. κς'.

Ῥᾳδίως κτήσῃ φίλον, ὃν ἂν βουληθῇς, εἰ ἀγαθά τινα λέγεις περὶ αὐτοῦ, ἀπόντος, ἐπὶ τῶν ἀπαγγελούντων αὐτῷ· ἀρχὴ γὰρ, ὡς ἔοικε, φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος ἐστίν· ἀλλὰ καὶ οὓς ἤδη κέκτησαι φίλους, εἰ βούλει πλέον ἐφέλκεσθαι, ἐπαίνει ἀπόντας ἐπὶ τῶν παρόντων· καὶ γὰρ οὕτω δόξειας ἂν ἐπαινεῖν καὶ τοὺς παρόντας ἐπὶ τῶν ἀπόντων· δοκίμαζε δὲ τοὺς φίλους ἔν τε ταῖς ἀνάγκαις, καὶ ταῖς δυσπραγίαις· τῶν γὰρ εὐη-

μερούντων φίλοι πολλοί· κἀκείνους ἀληθεῖς φίλους λογίζου, ὅσοι μὴ κέρδους ἕνεκα φιλοῦσιν, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν τῆς ἀγάπης· ἡ γὰρ ἄλλως φιλία, τῷ καιρῷ δουλεύουσα, ἐμπορία τις, ἀλλ' οὐ φιλία οὖσα ἐλέγχεται.

*Περὶ Πλούτου καὶ Πλεονεξίας.*

## Κεφ. κζ'.

Ὧν ἕνεκα τὴν Πολιτείαν ὑψώσεις, τούτων χάριν ποιεῖν μὴ κατόκνει· ἄριστα δὲ τὸ ὑπήκοον διοικήσεις, εἰ χρημάτων δημοσίων κτῆσιν ἐπιμελῶς ποιήσεις, ἀλλὰ τὴν ἐκ δικαίων πορισμῶν, οὐχὶ δὲ τὴν ἐξ ἀδίκου συναγωγὴν, οὐδὲ τὴν ἐκ δακρύων συλλεγομένην· χρήματα μὲν γὰρ, εἰ μὲν δικαίως συνάγεται, πολλὰ τὸν κεκτημένον ὀνήσει, καὶ ἰσχὺς τῇ βασιλείᾳ χρηματίσει· εἰ δὲ ἐξ ἀδικίας, καὶ δακρύων πορίζεται, καὶ τὰ δικαίως συνηγμένα συνεξαφανίζει, καὶ Θεὸν ἀντίδικον, τὸν τοῦ δικαίου νομοθέτην, ἐπισπᾶται· οὐχ οὕτω γὰρ πῦρ ἀφανίζει χόρτον, ὡς ὁ κακῶς καὶ ἀδίκως συνηγμένος πλοῦτος, καὶ τὸν καλῶς, καὶ δικαίως ἐπισωρευθέντα πλοῦτον προσαπόλλυσι.

*Περὶ Μακροθυμίας.*

## Κεφ. κή.

Μὴ ἦσθα φιλαίτιος ἐν τοῖς ὑπὸ χεῖρα· βαρὺ γάρ· μηδὲ ἑτοίμως ἐπιτιμῶν ἐν ταῖς ἀναστροφαῖς· φορτικὸν γάρ· μηδὲ γέλωτα ἀκρατῆ στέργε· ἀπαίδευτον γάρ· ἀλλ' ἔσο μακρόθυμος μὲν ἐπὶ τοῖς πταίουσι, φιλάνθρωπος δὲ ἐν τοῖς ἐπιτιμίοις· σεμνὸς τὸ ἦθος· πρᾷος τὸν λόγον· ἥμερος δὲ, καὶ ὁμιλητικὸς τὸν τρόπον· ταῦτα γὰρ ἅπαντα

ποθητόν σε ποιήσει τοῖς ὑπὸ χεῖρα, καὶ πατέρα μᾶλλον, ἢ βασιλέα καλεῖσθαι παρασκευάσει.

*Περὶ Ἀληθείας καὶ Ψεύδους.*

Κεφ. κθ'.

Ἀληθῆ λόγον περὶ πλείστου ποιοῦ, καὶ αὐτὸν ἔχειν, καὶ ἑτέρους τοὺς ἔχοντας οἰκειοῦσθαι· οὕτω γὰρ βέβαιος εἶναι δόξεις πρὸς ἅπαντά σου τὰ λεγόμενα, καὶ πραττόμενα, καὶ ἀνύποπτον, καὶ βεβαίαν τὴν εἰς σὲ φιλίαν διαφυλάξεις· εἰ γὰρ ψευδέσι λόγοις χρῆσθαι ὑποπτευθείης, κἂν βασιλεύειν κατηξιώθης, ἀλλ' ἀνάξια τῆς τοιαύτης ἀξίας διαπραττόμενος ἐλεγχθείς, καὶ περιδεεῖς τοὺς ὑπὸ χεῖρα, καὶ τεταραγμένους σοι πάντας εἶναι παρασκευάσεις· ὅσον γὰρ ὁ τῆς ἀληθείας λόγος τὸν κεκτημένον ἄνδρα ποθητὸν ἀπεργάζεται, τοσοῦτον ὁ ψευδής τε, καὶ ὕφαλος τὸν ἐπιτηδεύοντα μισεῖσθαι παρασκευάζει.

*Περὶ Ἀρχῆς.*

Κεφ. λ'.

Ἰατρὸς ἐκεῖνός ἐστιν ἄριστος, ὃς καταλλήλους τοῖς νοσήμασι τὰς ἰατρείας ἐπιτίθησι, καὶ βασιλεὺς ἐκεῖνός ἐστιν ἀγαθὸς, ὅς, ἀδικουμένων τῶν ὑπηκόων, τοὺς τὰς ἀδικίας ἐκδιώξοντας προβάλλεται ἄρχοντας· ὡς γὰρ ἱπποκόμου μὲν ἴδιον, τὸ τῶν ἵππων ἑκάστου τὴν ἀρετὴν ἐπιγινώσκειν, κυνηγέτου δὲ τὸ τοὺς διώκοντας τῶν κυνῶν καλῶς ἐξεπίστασθαι, καὶ στρατηγοῦ δὲ τὸ τοὺς στρατιώτας γνωρίζειν, ὁποῖοι τὰς ἀρετὰς ὑπάρχουσιν ἕκαστος, ἵν' ἐν παρατάξει τὸ ἄριστον τῆς ἐκτάξεως ἔχῃ, οὕτω καὶ βασιλέως ἀγαθοῦ, τὸ τὰ ἤθη, καὶ τοὺς τρόπους, καὶ τὰς ἀρετὰς, καὶ γνώμας τῶν ὑπ' αὐτὸν ἀρχόντων ἀναμανθάνειν, ἵν' ἐπιστημόνως ἔχῃ περὶ ἑκάστου, καὶ καταλ-

λήλως τὸν καθένα τῇ προσηκούσῃ τάξει διατάττῃ, καὶ τοὺς μὲν λοιμοὺς τῆς πολιτείας ἐξορίζειν, τοὺς εὐσεβεῖς δὲ καὶ ἐναρέτους τὰς πολιτικὰς ἀρχὰς διοικεῖν καταπιστεύειν.

*Περὶ Βουλῆς καὶ Σκέψεως.*

## Κεφ. λά.

Ὥσπερ τὸ ἑαυτῷ συμφωνεῖν ἔμφρονα, καὶ ἐπαινετὸν τὸν ἄνδρα χαρακτηρίζει, οὕτω τὸ τοῖς οἰκείοις διαμάχεσθαι καὶ λόγοις, καὶ πράγμασι, ψεκτόν τι χρηματίζει καὶ ἀγεννὲς, καὶ οὐκ ἀγαθῆς ὑπολήψεώς ἐστιν ἐγγύς· ἅπερ οὖν ἢ λέγειν, ἢ πράττειν βούλει, μηδέποτε ἀπερισκέπτως προβάλλῃ, καὶ οὐδαμοῦ σεαυτῷ διαμαχόμενος φωραθείης· ῥίζα μὲν γὰρ τοῦ τοιούτου πάθους ἡ ἀβουλία· εἰ δὲ μετὰ βουλῆς ἅπαντα πράττεις, τὴν ῥίζαν προεκτεμὼν, οὐδέποτε σεαυτῷ μαχόμενος εὑρεθείης.

*Περὶ Εὐνομίας.*

## Κεφ. λβ'

Νόμον ἄγραφον τὸν σεαυτοῦ τρόπον τοῖς ὑπηκόοις παρέξεις, καὶ τὴν μνήμην ἀληστον τῆς σῆς βασιλείας διατηρήσεις, ἐὰν καὶ αὐτὸς τοῖς καλῶς κειμένοις νόμοις τῶν πρὸ σοῦ βασιλέων συνακολουθήσῃς, καὶ τούτους ἀπαραβάτους πολιτεύεσθαι διατηρήσῃς· ἃ γὰρ τοὺς ὑπὸ χεῖρα φυλάττειν ἀναγκάσεις, ταῦτα πολλῷ μᾶλλον τηρεῖν σεαυτῷ τὴν ἀνάγκην ἐπίθες· εἰ γὰρ αὐτὸς τῶν πρὸ σοῦ τοῖς νόμοις οὐ πολιτεύσῃ, οὐδὲ τοῖς σοῖς ἕτεροι θεσπίσμασιν ἕψονται, καὶ οὕτως οἱ νόμοι ὑπ' ἀλλήλων ἀνατρεπόμενοι, ταραχῆς καὶ συγχύσεως τὸν βίον ὅλον ἐμπλήσουσι, δι' ὧν πολλάκις ὁλόκληρα ἔθνη πρὸς καταστροφὴν κατωλίσθησαν.

*Περὶ Σκαιῶν Ἀνδρῶν.*

Κεφ. λγ'.

Λοιμοὺς ἄνδρας τῆς Πολιτείας ἐξόριζε, καὶ μηδέποτε τοῖς τοιούτοις ἀρχὴν καταπιστεύσῃς, ἵνα μὴ καὶ αὐτὸς ὅμοιος ἐκείνοις εἶναι δόξῃς, καὶ χαίρων ἐπὶ ταῖς ἐκείνων ἀδικίαις· ἃ γὰρ ἂν ἐκεῖνοι πράξωσι κακὰ, σοὶ τούτων τὰς αἰτίας ἀναθήσουσι, καὶ τῆς ἐκείνων φαύλης γνώμης κοινωνόν σε νομίσουσι, καὶ λόγον ὑφέξεις περὶ αὐτῶν τῷ Θεῷ· ἡ γὰρ τῶν φαύλων ἀνθρώπων προαγωγὴ, τῶν προαγαγόντων ἐστὶν ἔλεγχος ἀκριβὴς καὶ τὰ ἐκείνοις πεπραγμένα πονηρὰ, τοῖς προχειριζομένοις αὐτοὺς ἅπαντες ἐπιγράφονται· σπούδαζε οὖν μάλιστα τοὺς ἀγαθοὺς ἄνδρας προβάλλεσθαι ἄρχοντας, ἵνα αἱ καλαὶ αὐτῶν φῆμαι σοὶ γένωνται κόσμος, καὶ ἅπερ ἐκεῖνοι πράττουσιν ἀγαθὰ, σοὶ ταῦτα τὸ ὑπήκοον ἀναγράψηται· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

*Περὶ Ἐλέους.*

Κεφ. λδ'.

Ἔρα χρημάτων, μὴ χάριν ἡδονῆς, ἀλλὰ χρείας ἕνεκα τῆς ἀναγκαίας, ἢ ἵνα τοῖς δυστυχοῦσι βοηθῇς, ἢ ἵνα τοῖς ὑπὲρ ἀλλήλων καλῶς θνήσκειν αἱρουμένοις χορηγῇς· ἡ γὰρ ἄλλως φιλοχρηματία, οὐ μόνον ὠφέλειαν οὐ ποιεῖ, ἀλλὰ καὶ βλάβην μᾶλλον προξενεῖ· πλοῦτος μὲν γὰρ οὐδὲ ἀρετὴν ἐνυπάρχων, κακίας μᾶλλον, ἀλλ' οὐκ ἀρετῆς ὑπηρέτης ἐστίν. Ὁ δὲ χάριν ἀρετῆς προσὼν, τοῖς κεκτημένοις μεγάλα δύναται ὠφελεῖν καὶ τὰς ψυχὰς αὐτῶν, καὶ τὰ σώματα· τὸ μὲν, τοῖς δεομένοις δαψιλευόμενος, τὸ δὲ, τοῖς ἀγαθοῖς τῶν φίλων ἐπιχορη-

γούμενος. Εὐποιία γὰρ ἀμφότερα, κἂν διαφόροις ἐπιγράφηται τοῖς ὀνόμασι.

*Περὶ Ἀγάπης Φίλων.*

Κεφ. λε'.

Οὐδὲν ἀγάπης, ὡς ἔοικε, κραταιότερον· φίλου γὰρ ἀληθοῦς οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν. Φύλαττε οὖν τὴν φιλίαν ἐν παντὶ καιρῷ, καὶ τόπῳ πρὸς τοὺς γνησίους σου φίλους, ἵνα καὶ αὐτοὶ ἀνύποπτόν σου καὶ βεβαίαν τὴν ἀγάπην διατηρῶσι· καὶ μὴ γίνου τῇ γνώμῃ ἀχάριστος· μέρος γὰρ εὐσεβείας τὸ ἀνταποδιδόναι τοῖς εὐποιοῦσι τὰς χάριτας· ὁ γὰρ ἀχάριστος ἑαυτῷ ὑπάρχει πολέμιος· χάρις μὲν γὰρ ἀνταποδιδομένη πλεονάζεται, μὴ ἀνταποδιδομένη δὲ, καὶ τὴν καταβληθεῖσαν προσαπόλλυσιν· εὐχάριστος τοίνυν γενόμενος, πολλοὺς ἕξεις τοὺς περὶ σὲ σπουδάσοντας, καὶ πολλάς σοι καταβαλοῦνται τὰς χάριτας· ἀχάριστος δὲ ὑπάρχων, οὐδένα κτήσῃ φίλον οὐδαμῶς, μεθ' οὗ συμβιώσεις ἡδέως, κἂν πάντες ἄνθρωποι τὴν πρὸς σὲ φιλίαν ὑποκριθῶσι.

*Περὶ Λόγου, καὶ Σιωπῆς.*

Κεφ. λς'.

Νουνεχὴς ἔσο, καὶ φρόνιμος ἐν τῷ τὸ ἑκάστου ἦθος ἀναμανθάνειν, καὶ τῶν μὲν σπουδαίων τὰς γνώμας ἀποδέχεσθαι, τῶν δὲ φαύλων ἀποστρέφεσθαι· ἀλλὰ καὶ ὅπερ ἂν μέλλῃς ἐρεῖν, προεπισκόπει τῇ γνώμῃ, ἵνα μὴ καὶ ἡ γλῶσσα προτρέχουσα τοῦ λογισμοῦ, ἀτάκτως λέγειν ὀνειδισθῇ· σιωπήσας μὲν γὰρ ἐν συλλόγῳ, κύριος εἶ, πρὸ τοῦ τι εἰπεῖν, ὧν μέλλεις εἰπεῖν, εἶπου καὶ μετὰ τὴν προτέραν γνώμην ἡ δευτέρα κρείττων ἀναφανῇ· λαλήσας δὲ ἅπαξ, οὐ δυνήσῃ τοῦ λαληθέντος ἐναντία προσειπεῖν,

εἴγε μώμου χωρὶς τὰς ὁμιλίας ποιεῖσθαι ποθεῖς· λέγειν δὲ ἀναγκαῖον, ἢ περὶ ὧν γινώσκεις, ἢ περὶ ὧν ὁ καιρὸς ἀπαιτεῖ· ἐν δὲ τοῖς ἄλλοις ἅπασι, κρείττων τοῦ λόγου ἡ σιωπή.

*Περὶ Ἐλεημοσύνης.*

Κεφ. λζ'.

Τὸν ἔλεον ἐπιδαψιλεύου τοῖς δεομένοις, ἵνα ἔλεον ἐπισπάσῃ παρὰ τοῦ τῶν ὅλων βασιλέως· εὐσέβεια γὰρ κυρίως ἡ τοῖς δεομένοις ἐστὶ μετάδοσις· καὶ μηδὲν ἡγοῦ τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μηδένα εὐεργετήσῃς, ὑπὲρ ὧν παρὰ Θεοῦ καὶ αὐτὸς εὐεργετήθης· κτῆσαι οὖν τὴν ἐλεημοσύνην, ἵνα τὸ ὅμοιον παρὰ Θεοῦ ἀντιδέξῃ· κλῖνον τὸ οὖς σου τοῖς ἱκετεύουσι, δυσωπήθητι ὄμματι ἱλαρῷ· τοὺς δυσωποῦντας οἰκτειρον· δάκρυα χήρας, καὶ στεναγμοὺς ὀρφανῶν μὴ ἀπώσῃ· ἃ γὰρ ἂν ποιήσωμεν, ταῦτα καὶ πάθωμεν, καὶ ὡς ἀκούομεν, ἀκουσθησόμεθα· καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα· οἷον οὖν εὔχῃ τὸν Θεὸν γενέσθαι περὶ σὲ, τοιοῦτος περὶ τοὺς ἱκέτας γενοῦ καὶ αὐτός· ἐν ᾧ γὰρ μέτρῳ μετρήσεις, ἀντιμετρηθήσεταί σοι.

*Περὶ τοῦ, ὅτι πρόσκαιρα τὰ τῇδε πάντα.*

Κεφ. λή.

Ἴσθι, τέκνον ἐμὸν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει τὸ στάσιμον, οὐδὲ τὸ βέβαιον, ἢ ἀμετάβλητον· ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα, καὶ τροχοῦ δίκην κυλιομένου, τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω· διὸ μήτε εὐτυχίαις ἐπαίρου, μήτε ἐν ταῖς δυστυχίαις καταφέρου, ἀλλ' ἔσο κατ' ἄμφω σταθερὸς καὶ ἀμετάπτωτος, μόνῳ τῷ καλῷ σπουδάζων, τὰ δ' ἄλλα προσανατιθεὶς τῷ Θεῷ· ὅταν γὰρ εὐτυχῇς, τῇ ἐλπίδι τῆς

δυστυχίας ἐπαίρεσθαι οὐκ ὀφείλεις, μηδ', ὁπόταν δυστυχῇς, τῇ ἐλπίδι τῆς εὐτυχίας καταφέρεσθαι παρενεχθῇς· μικροψυχίας γὰρ τὸ τοιοῦτο, καὶ ἀνάξιον βασιλικῆς ἀρετῆς· διότι τὸ μέλλον ἀόρατον· μήτε οὖν στυγνάζων ποτὲ, μήτε γελοιάζων αὐθαδῶς φωραθῇς· οὕτω γὰρ φρόνιμός τε δόξεις εἶναι, καὶ τὰ ἐξ ἑκατέρου πάθους διαφύγοις, καὶ οἱ τὰ σὰ λογοπραγμονοῦντες, οὐδεμίαν ἕξουσι λαβὴν τοῦ μέμφεσθαι τὰ προσπίπτοντα.

*Περὶ Ἐπιμελείας.*

## Κεφ. λθ'.

Ταύτην σεαυτῷ τὴν ἀνάγκην ἐπίθες, τὸ πάντα μὲν ἐθέλειν ἐφορᾶν, μηδὲν δὲ καταδέχεσθαι παρορᾶν· αὐτὸ δέ φημι, ἐπεὶ βασιλεὺς ὑπάρχων, οὐδένα ἔχεις ἐπὶ γῆς ὑπὲρ σέ, ὃς ἀναγκάσαι σε δύναται· ἀλλ' εἰ καὶ πάντων βασιλεύεις τῶν ἐπὶ γῆς, ἀλλ' ἔχεις καὶ αὐτὸς τὸν ἐν οὐρανοῖς βασιλέα· εἴγε οὖν ἐκείνῳ πάντων μέλλει ὡς Θεῷ, οὕτω χρὴ καὶ σὲ μηδὲν παρορᾶν, ὡς ὑπὸ Θεῷ βασιλεῖ· ὥσπερ γὰρ τὰ παρὰ σοῦ ἐπιμελῶς ὁρώμενά τε, καὶ διοικούμενα, μεγάλης ἀπολαύει τῆς ὠφελείας, οὕτω καὶ τὰ παρορώμενα πρὸς μεγάλην κατολισθήσει ἀπώλειαν· εἰ γὰρ καὶ ἐπὶ πάντων οὐ μικρὸν τὸ παρὰ μικρὸν, ἀλλ' οὖν ἐπὶ βασιλεῖ τὸ σοφὸν τοῦτο μᾶλλον ἁρμόσειε.

*Περὶ Φυλακῆς.*

## Κεφ. μ'.

Ὡς ἀγαθὴ λίαν σώματι βασιλικῷ φυλακὴ, ἡ παρὰ τῶν ὑπηκόων εὔνοια σὺν Θεῷ, καὶ τὸ πάντας εὐποιεῖσθαι παρ' αὐτοῦ, καὶ μηδένα ὑφορᾶσθαι τυραννικόν τι παθεῖν· ἀλλ' ὥσπερ δεῖ τὴν βασιλείαν σου φυλάττειν ἐκ τῶν ἐχθρῶν ἀνεπιβούλευτον, οὕτω χρὴ τηρεῖν καὶ τὴν ψυχὴν τοῖς πάθε-

σιν ἀνεπίβατον· ἀμφότερα γὰρ ὁ λόγος ἐπιβουλὴν ὁρίζεται, καὶ ἐν ἑκατέροις μέγας ὁ κίνδυνος· ἀλλ' ἡ μὲν τοῦ σώματος ἐπιβουλὴ παρὰ τῶν ἐχθρῶν πρόσκαιρον ἔχει τὸν θάνατον, ἡ δὲ κατὰ τῆς ψυχῆς ἐπιβουλὴ παρὰ τῶν παθῶν τιμωρίαν προξενεῖ καὶ μετὰ θάνατον τὴν ἀθάνατον.

*Περὶ τῆς Ἐπουρανίου Βασιλείας.*

Κεφ. μά.

Πολλοὶ βασιλεῖς τὰ βασίλεια ταῦτα παρῴκησαν, ἀλλ' ὀλίγοι τὴν ἐπουράνιον βασιλείαν κατῴκησαν· σπούδαζε οὖν, τέκνον ἠγαπημένον, μὴ μόνον ταύτην τὴν βασιλείαν κατορθῶσαι διὰ τῆς τῶν τρόπων καλοκἀγαθίας, ἀλλὰ καὶ τὴν ἐπουράνιον κληρονομῆσαι διὰ τῆς τῶν ἀρετῶν ἀγαθοεργίας· σήμερον γάρ εἰσι τὰ βασίλεια σά, καὶ αὔριον ἔσονται οὐ σά, μετὰ δὲ τὴν αὔριον ἑτέρου, καὶ τὴν μετ' ἐκείνην τοῦ μετ' ἐκεῖνον, ὥστε οὐκ εἰσὶν οὐδέποτε οὐδενός. εἰ γὰρ καὶ πολλοὺς ἀμείβουσι τοὺς δεσπότας, οὐδέν' ἄρα τὸν γνήσιον ἔχουσι δεσπότην· ἐπεὶ οὖν μεταβῆναι χρὴ τῆς ἐντεῦθεν ἐξουσίας, σπεύσωμεν ἀμείψασθαι δι' ἀρετῆς τὴν ἐκεῖθεν βασιλείαν, ἥτις μόνη τὸ ἀθάνατον κέκτηται καὶ ἀδιάδοχον, τὰ δ' ἄλλα πάντα ῥεῖ, καὶ παρέρχεται.

*Περὶ Μνήμης Θεοῦ.*

Κεφ. μβ'.

Ἐὰν νόμον σεαυτοῦ τὴν συνείδησιν ἔχῃς, καὶ ἅπερ αὐτὸς παθεῖν οὐκ ἐθέλεις, οὐδὲ ἑτέρους παθεῖν ἐπιτρέψῃς, οὐδέποτε μέμψιν ἁμαρτίας ὑποστήσῃ· εἰ δὲ καὶ τὸν Θεὸν ἐν πάσῃ σου πράξει ἐπόπτην καὶ ἐξεταστὴν, ὥσπερ ἐστὶν, ἀναλογίσῃ, οὔτε φανερῶς ποτε, οὔτε κρυ-

πτῶς ἁμαρτήσεις· κἂν γὰρ ἑτέρους λανθάνειν δόξῃς, ἅπερ ἐν κρυφῇ πράξῃς, ἀλλ' οὖν γε τὴν σεαυτοῦ συνείδησιν, καὶ Θεὸν, τὸν καὶ αὐτῶν τῶν τῆς ψυχῆς ταμείων ἔφορον, ἐπαισχυνθήσῃ· τὰ μὲν γὰρ τοῦ σώματος ἐφορῶσιν ἄνθρωποι, τὰ δὲ ἐν βάθει τῆς ψυχῆς ὁ μόνος ἀλάθητος ὀφθαλμὸς τοῦ Θεοῦ ὁρᾷ· ὥςπερ, ἡλίου λάμποντος ἐν αἰθρίᾳ, κεκρυμμένον οὐδὲν, οὕτω τοῦ Θεοῦ ἐποπτεύοντος τὰς πράξεις, λαθεῖν δυνατὸν οὐδέν.

*Περὶ δωροληψίας.*

Κεφ. μγ'.

Προῖκα χαρίζου τὰ ἀξιώματα, καὶ μὴ δώροις ἀπεμπώλει τὰς ἀξίας· ὁ γὰρ τιμῆς τὴν ἀρχὴν ὠνούμενος, πολλῷ μᾶλλον τοὺς ἀρχομένους ὠνήσατο, ἵνα τῇ δωροδοκίᾳ θαῤῥῶν, πρὸς δωροκοπίαν ἀδεῶς ὁρᾷ· ἀναζήτει οὖν ἐπιμελῶς, καὶ ἐρώτα, κἀκείνους ἐπὶ τὰς ἀρχὰς ἀναβίβαζε, εἴγε βούλει τὴν δωροληψίαν ἐξορίσαι τῆς πολιτείας, ὅσοι δωρεὰν, ἀλλ' οὐ δώροις ταῦτα ἐπιζητοῦσιν· ὁ γὰρ διδούς τι διὰ τὴν ἀρχὴν, κέρδος τι ζητεῖ λαβεῖν παρὰ τῆς ἀρχῆς, δόσει τὴν λῆψιν ὠνούμενος, καὶ παρανομίας πραγματευόμενος· ὃς γὰρ ἄμισθον τὴν ἀρχὴν λάβοι, δωροληψίας οὐ περιπεσεῖται ἐγκλήματι· ὁ δὲ μετὰ μισθοῦ λαβὼν τὴν ἀρχὴν, οὗτος οὐδὲν χωρὶς δώρων πρᾶξαί ποτε μεταμάθοι, καί σε τῆς δωροληψίας διδάσκαλον ἔχων, τὸν ταύτην κρίνειν ὀφείλοντα, οὐ μόνον αὐτὸς δωροληπτήσει, ἀλλὰ καὶ ἑτέρους τοὺς ὑπ' αὐτὸν τὰ αὐτὰ πράττειν συναναγκάσει.

*Περὶ Ἀδικίας.*

Κεφ. μδ'.

Οὐχ οὕτως ἁμαρτάνει ὁ ἀδικῶν, ὡς ὁ τὴν ἀδικίαν

παραχωρῶν· ὅταν οὖν σοι προσέλθῃ ἀδικηθείς, μὴ ὑπερίδῃς αὐτοῦ τὴν συντριβήν, ἵνα μὴ χώραν δῷς τοῖς βουλομένοις ἀδικεῖν· ὁ γὰρ ἠδικημένος ἐπὶ σοὶ μόνῳ τὰς ἐλπίδας σαλεύει, καὶ σὲ τῆς ἀδικίας ἐκδικητὴν προβαλλόμενος, τὸν ἠδικηκότα ἀμύνεται· πάντως δὲ χρεὼν παρὰ σοῦ τὸν προσελθόντα δικαιωθῆναι· ἐπεὶ δίκαιον τὴν ἀδικίαν ἀνασταλῆναι· εἰ δὲ αὐτὸς τὴν ἀδικίαν παραχωρήσας τῷ ἀδικοῦντι, τὸν ἠδικημένον ὑπερίδῃς, καὶ δυνάμενος μόνος τὸν ἠδικηκότα ἀμύνεσθαι, τῆς δίκης μηδένα ποιήσεις λόγον, ποῦ ὁ δείλαιος ἐκεῖνος ἔτι καταφυγεῖν ἐλπίσει; παρὰ τίνος ἀπολήψεται τὴν ἐκδίκησιν, εἰ μὴ παρὰ Θεοῦ, ὃς καὶ σὲ τῆς ἀμελείας ἀπαιτήσει τὰς δίκας; δικαίωσον οὖν τὸν ἠδικημένον, καὶ ἀμύνου τὸν ἠδικηκότα, ἵνα μὴ, δι' ὧν παρορᾷς, δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν, καὶ ἀλλοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσῃς.

*Περὶ Θνητότητος καὶ Ἀθανασίας.*

**Κεφ. μέ.**

Θνητὸς ὑπάρχεις τῷ σώματι, ἀθάνατος δὲ τῇ ψυχῇ διαμένεις· φρόνει οὖν θνητὰ τῇ σαρκὶ, τῇ δὲ ψυχῇ ἀθάνατα, περίβαλε κόσμον τῷ σώματι, ὡς θνητὸν τῷ θνητῷ, περιβαλοῦ δὲ ὄλβον ἀθάνατον τῇ ψυχῇ, ὡς ἀθανάτῳ· κἂν γὰρ ἐπὶ θρόνον ὑψώθης, ἀλλ' οὖν μετὰ χρόνον καταβήσῃ· καὶ εἰ τῆς γῆς ἁπάσης κατακρατῆσαι φιλονεικήσεις, ἀλλ' οὐ πλέον τριπήχεως γῆς μετὰ θάνατον κληρονομήσεις· ἐπιμελοῦ οὖν τῆς θνητῆς βασιλείας, ὡς θνητὸς, περιποιοῦ δὲ, καὶ κτῶ τὴν ἀθάνατον βασιλείαν διὰ τῆς τῶν ἀρετῶν κτήσεως, ὡς ἀθάνατος· διὰ τοῦτο γὰρ τῆς θνητῆς ἠξιώθης ἐξουσίας, ἵνα δι' αὐτῆς ἐμπορεύσῃ τὴν ἀθάνατον βασιλείαν.

*Περὶ Ἀρχόντων.*

Κεφ. μς΄.

Ἣν ἔχεις γνώμην περὶ σεαυτοῦ, ταύτην ἔχειν θέλε καὶ περὶ τῶν ὑπὸ σὲ, καὶ περὶ παντὸς ποιοῦ ἀγαπητῶς αὐτοὺς ἔχειν περὶ τὴν σὴν ἀρχήν· ἐκεῖνοι γὰρ μάλιστα ἡδέως βασιλεύουσιν, οἵτινες τὸ ὑπήκοον ἄριστα θεραπεύουσι, καὶ τοὺς μὲν ἀξίους τιμῶντες, ἀγαθοποιήσουσι, τοὺς δ᾽ ἀναξίους οὐκ ἀδικήτουσι· μάλιστα δ᾽ ἂν εὐδοκιμήσεις, εἰ τὴν ἑκάστῳ χώραν ἀποδώσεις, καὶ τοῖς μὲν ἀξίοις ἄρχειν τὰς ἀρχὰς καταπιστεύσεις, τοῖς δὲ ἀρχομένοις πάλιν, μηθ᾽ ὑβρίζειν τοὺς ἄρχοντας, μηθ᾽ ὑβρίζεσθαι παρασκευάσεις· γίνωσκε οὖν, ἀναμανθάνων ἕκαστον, καὶ οὕτω προσηκόντως τάτε περὶ τῶν ἀρχόντων, καὶ τῶν ἀρχομένων πραγματεύου, ἵνα μὴ ἄρχωσιν ἔλαφοι λεόντων, ἀλλὰ λέοντες ἐλάφων.

*Περὶ Εἰρήνης.*

Κεφ. μζ΄.

Μακάριον σεαυτὸν, καὶ κόπου χωρὶς ἀποδείξεις, εἰ τὰ μαχόμενα σπεύδεις εἰρηνοποιεῖν, καὶ πᾶσαν ἔχθραν, καὶ πᾶσαν ἔριν τῆς πολιτείας ἐξορίζεις, καὶ πᾶσαν γαλήνην, καὶ πᾶσαν ἀγάπην τὸ ὑπήκοον ἀσπάζεσθαι διατάττεις, καὶ τοὺς μὲν τὰς ἔχθρας γεννῶντας ἀποβλήτους εἶναι, τοὺς δὲ τὴν εἰρήνην φιλοῦντας οἰκειοῦσθαι· υἱὸς γὰρ ἐμοῦ τοῦ γηίνου βασιλέως ὑπάρχων κατὰ σάρκα, καὶ τοῖς παρ᾽ ἐμοῦ σοι λεγομένοις πειθόμενος λόγοις, υἱὸς κληθήσῃ καὶ τοῦ ἐπουρανίου βασιλέως, τὴν θείαν σεαυτῷ συγγένειαν ἐπιγραφόμενος κατὰ πνεῦμα, τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὴς ὑπάρχων· μακάριοι γάρ φησιν, οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται

*Περὶ Ἐπαίνου.*

Κεφ. μή.

Ἐπαίνει τῶν συνόντων μὴ τοὺς ἅπαντα τὰ πραττόμενά σοι ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἐσφαλμένοις μᾶλλον ἐπιτιμῶντας· τούτους γὰρ ἐγὼ εὐνουστέρους καὶ σωφρονεστέρους οἶδα τῶν ἄλλων· καὶ γὰρ τοῦ ψεύδους ἡ ἀλήθεια προτιμητέα· ἀλλὰ καὶ τοῖς εὖ φρονοῦσι παρρησίαν χαρίζου, ἵνα περὶ ὧν ἀγνοεῖς, ἔχῃς μεθ' ὧν ἄριστα συμβουλεύσῃ· καὶ οὕτω διατεθείς, σκοπήσεις, ὡς οὐ χρὴ τοῖς διὰ τέχνης κολακεύουσιν, ἀλλὰ τοῖς μετ' εὐνοίας θεραπεύουσι προσέχειν ἀεί· τῆς γὰρ ἑτέρου ὠφελείας, καὶ βλάβης εὖ μάλιστα πειραθείς, τοῦ μὲν ἀποφεύξῃ, τοῦ δὲ ἐπιτεύξῃ.

*Περὶ προσοχῆς.*

Κεφ. μθ'.

Νεότητα κόσμησον μὴ τοῖς γυμνικοῖς ἀγῶσιν, ἀλλὰ τοῖς ἐναρέτοις, μηδὲ παρίδῃς σου τὴν φύσιν ἅμα πᾶσαν διαλυθῆναι· κἂν γὰρ σώματος ὑπάρχῃς θνητοῦ, ἀλλὰ καὶ ψυχῆς ἔλαχες ἀθανάτου· πειρῶ οὖν διὰ τῆς ἀγαθῆς μνήμης κτήσασθαι τὸ ἀθάνατον· μνήμην δὲ καταλήψεις ἀγαθὴν, ἐὰν καὶ αὐτὸς τοὺς ἀγαθὴν καταλιπόντας μνήμην ζηλῇς, ἵνα καλὰ μὲν ἐκμελετήσῃς λέγειν, τὰ ὅμοια δὲ συνεθισθῇς πράττειν, καὶ, ἃ φρονεῖν ἐπιτηδεύσεις διὰ τῶν λόγων, ταῦτα πονεῖν ἐπιμελήσῃ διὰ τῶν ἔργων.

*Περὶ Συμπαθειας.*

Κεφ. ν'.

Ὥσπερ οὐκ ἔστι σῶμα, ᾧ οὐ παρέπεται σκιὰ, οὕτως οὐδὲ ἄνθρωπος ᾧ οὐ παρέπεται ἁμαρτία· ἡ γὰρ φύσις ἡμῶν εὐόλισθόν τι χρῆμα, καὶ πρὸς τὸ πταίειν εὐκατάφορον· ἔσο οὖν τοῖς ἁμαρτάνουσιν εὐμενὴς, καὶ τῷ δικαίῳ κίρνα τὸ φιλάνθρωπον· κἂν γὰρ ἑτέρους πταίοντας λο-

γοθετῆς, ἀλλὰ καὶ αὐτὸς τῶν σεαυτοῦ σφαλμάτων λογοθέτην ἔχεις τὸν Θεὸν, καὶ καθ' ἑκάστην ἑαυτῷ παρεγγύα τὴν ἡμέραν, ὡς ἀφήσεις, καὶ αὐτὸς ἀφεθῆναί σοι παρ' αὐτοῦ ἔλπιζε· ἐπεὶ οὖν σεαυτῷ τὴν κρίσιν ἐπιψηφίζῃ, ἄφες τοῖς ὀφειλέταις τὰ ὀφειλήματα, καὶ ἀφεθήσεταί σοι τὰ ἁμαρτήματα· ἃ γὰρ ἂν τοῖς συνδούλοις ποιήσῃς, ταῦτα παρὰ τοῦ κοινοῦ δεσπότου ἀνταποδέξῃ· ὅτι ἐν ᾧ κρίματι κρινεῖς, ἐν τούτῳ καὶ κριθήσῃ.

*Περὶ ἐπιεικείας.*

Κεφ. νά

Ὑπόκλινον τὸ οὖς σου τῷ δεομένῳ, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικά· κἂν γὰρ ἀπρόσιτος ὑπάρχῃς διὰ τὴν κάτω δυναστείαν, ἀλλ' εὐπρόσιτος γενοῦ διὰ τὴν ἄνω ἐξουσίαν· παραμύθησαι τοὺς ὀδυνωμένους, εἰ καὶ μὴ δώροις, ἀλλ' οὖν τοῖς λόγοις· πολλῶν γὰρ δωρεῶν οἶδα καὶ λόγον ἕνα ὑπεράξιον, καὶ μυρίων ἄλλων πραγμάτων ῥῆμα ἓν εἰς παραψυχὴν ἰσχυρώτερον· οὐ τοσοῦτον γὰρ χρημάτων δύναται περιουσία, ὡς βασιλέως ῥῆμα ἐπιεικὲς παραμυθήσεται ψυχὴν ἀλγοῦσαν· οὕτως ἀγαπητὸς γενήσῃ τοῖς ὑπὸ χεῖρα μάλιστα, καὶ δαπάνης χωρὶς τὴν ἁπάντων εὔνοιαν κερδήσεις, καὶ πατέρα σε μᾶλλον, ἢ δεσπότην ἀνακηρύξουσι.

*Περὶ ἀντιχάριτος.*

Κεφ. νβ.

Ἴσθι, ὡς ἐφ' ὅσον ἠξιώθης παρὰ Θεοῦ τῶν ἀγαθῶν, ἐπὶ τοσοῦτον ὀφείλεις αὐτῷ ἀνταποδιδόναι τὰς χάριτας, τῷ μὴ ὡς χρέος δεχομένῳ τὰς ὀφειλὰς, ἀλλ' ἀνταποδιδόντι, ὥσπερ ἀντὶ χαρίτων, διπλασίονας χάριτας· ἄμειψαι οὖν τῷ εὐεργέτῃ τῶν ἀγαθῶν χάριν ἀγαθὴν, καὶ

ἣν ἔλαβες παρ' αὐτοῦ ἐξουσίαν, χρῆσαι ταύτῃ ταῖς εἰς τὸν πλησίον εὐεργεσίαις· πλουσιωτέρους δέσου μᾶλλον νόμιζε κατὰ τὴν εὐποιίαν, ὅσοι μικρότεροί σου τυγχάνουσι διὰ τὴν ἐξουσίαν· οὐ γὰρ ἔλαβες, ἵνα κατέχῃς, ἀλλ' ἐδέξω, ἵνα οἰκονομήσῃς· καὶ τῆς καλῆς διοικήσεως παρὰ τοῦ δεδωκότος τοὺς μισθοὺς ἀπολήψῃ, καὶ ἀντὶ τῆς ἐπικήρου βασιλείας τὴν ἀθάνατον.

*Περὶ κάλλους Σώματος.*

Κεφ. νγ'.

Ὡραιότης σώματος ἄξιον τὸν κεκτημένον ἐποίησε παρίστασθαι βασιλεῖ· ὡραιότης δὲ ψυχῆς ἀγαπητὸν ἐργάζεται τὸν ἄνθρωπον τῷ ἐπουρανίῳ βασιλεῖ, ἀλλ' ἡ μὲν πρόσκαιρον ἔχει τὴν τῶν ἀξιωμάτων ἀπόλαυσιν, ἡ δὲ αἰωνίαν εὑρίσκει τὴν πρὸς τὸν Θεὸν, καὶ δεσπότην οἰκείωσιν· ἀλλ' αὐτὸς μὲν οὐκ ἔχεις ἕτερον ὑπὲρ σὲ, ᾧ τῷ τοῦ σώματος κάλλει ἀρέσεις, ἀλλ' ἔχεις Θεὸν, ὃς οὐ κάλλος σώματος ἐκζητεῖ, ἀλλὰ ψυχῆς εὐγένειαν· τούτῳ οὖν ἀρέσκειν σπεῦδε διὰ παντὸς, τὴν αὐτοῦ εἰκόνα σεαυτῷ καθαρὰν, καὶ ἀμόλυντον φυλάττων διὰ τῆς σωφροσύνης καὶ καθαρότητος.

*Περὶ Ἰατρείας.*

Κεφ. νδ'.

Κενὸς ἐκεῖνός ἐστιν ὁ τοῦ Ἰατροῦ πόνος, ἐὰν τὸ παρ' αὐτοῦ φάρμακον τὸ σῶμα μὴ ἰατρεύσῃ· καὶ μάταιος ἐκεῖνος ὁ τοῦ φιλοσόφου λόγος, ἂν μὴ δύνηται τὰ πάθη τῆς ψυχῆς θεραπεῦσαι· ὥσπερ γὰρ Ἰατροῖς περὶ σωμάτων φιλοσοφεῖν, οὕτω καὶ φιλοσόφοις ψυχὰς ἰατρεύειν ἀναγκαῖόν ἐστιν· ἐκείνους γοῦν ἡγοῦ ἰατροὺς ἀληθεῖς, ὅσοι ἀπὸ σωμάτων τὰς νόσους τῇ τέχνῃ διώκουσι, κἀ-

κείνους ὁρίζου φιλοσόφους ἀψευδεῖς, ὅσοι ἀπὸ τῶν ψυχῶν τὰ πάθη τοῖς λόγοις ἐξορίζουσιν, εἴγε πειθηνίους ἔχουσι τοὺς ἀσθενοῦντας διόλου.

*Περὶ Συκοφαντῶν.*

Κεφ. νέ.

Ἀκοὴν ματαίαν μὴ παραδέχου, μηδὲ τοὺς συκοφαντοῦντας ἐναγκαλίζου, μηδὲ φαύλοις ἀνθρώποις εἰκῆ πίστευε· οἱ μὲν γὰρ πολλάκις τοὺς ἀγαθοὺς ἄνδρας διὰ κακίας ὑπόληψιν ἀπώλεσαν, οἱ δὲ τοὺς οἰκείους τῆς κακίας θυμοὺς ἐμοῦντες, ἀθῴου αἵματος ὑπεύθυνόν σε καταστήσουσιν, ὡς χαίροντα τοῖς κακοῖς· μεθ' ὧν γὰρ ἀναστρέφεσθαι ποθεῖς, καὶ οἷς πιστεύειν φιλονεικεῖς, καὶ σὺ τοὺς αὐτῶν τρόπους εὐλόγως κεκτῆσθαι δόξεις.

*Περὶ Μελέτης γραφῶν.*

Κεφ. νς'.

Ἱστορίας ἀρχαίας ἐξέρχεσθαι μὴ κατόκνει· ἐν αὐταῖς γὰρ εὑρίσκεις ἀκόπως, ἅπερ ἕτεροι συνῆξαν ἐγκόπως, καὶ μάθοις ἐκεῖθεν τάς τε τῶν σπουδαίων ἀρετὰς, καὶ τὰς τῶν φαύλων κακίας, τάς τε τοῦ βίου πολυτρόπους μεταβολὰς, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὰς ἐναλλαγὰς, καὶ τοῦ κόσμου τὸ ἄστατον, καὶ τὸ τῆς ἀρχῆς εὐμετάπτωτον, καὶ ἁπλῶς εἰπεῖν, τῶν μὲν φαύλων τὰς ἀμοιβὰς, τῶν δὲ σπουδαίων πράξεων τὰς ἀντιδόσεις, ὧν τὰς μὲν φύγοις, ἵνα τῆς ἐκεῖθεν δίκης πεῖραν μὴ λάβῃς, τὰς δὲ κατορθώσοις, ἵνα τῶν ἐκεῖθεν ἐπάθλων καταξιωθῇς.

*Περὶ Εὐεργεσίας.*

Κεφ. νζ'.

Σοφόν τί σε νουθετήσω, καὶ ἄηθες ἴσως τοῖς συμ-

βουλεύουσι, πλὴν καὶ πατρὸς, καὶ βασιλέως στοργῆς οὐκ ἀνάξιον· μᾶλλον ἀποδέχου, τέκνον, τοὺς παρὰ σοῦ δωρεὰν ἐξαιτοῦντας, ἢ τοὺς δῶρά σοι φιλοτιμώτερον προσκομίζοντας· τοὺς μὲν γὰρ χρεώστας καταστήσεις, εὐχομένους σοι τ᾽ ἀγαθὰ παρὰ τοῦ Θεοῦ· (κἀντεῦθεν καὶ αὐτὸν τὸν Θεὸν ὀφειλέτην ποιήσεις, τὰς ἀμοιβὰς χρεωστικῶς ἀπονέμοντα·) τῶν δὲ χρεώστης ὑπάρξεις, καὶ ὡς εὐεργέτας αἰδοῦς ἀνελευθέρου καταξιώσεις. Θέλε οὖν εὐεργετεῖν μὲν ἅπαντας ἀνθρώπους, εὐεργετεῖσθαι δὲ παρ᾽ οὐδενὸς τῶν ἀνθρώπων, ἀλλ᾽ ἢ παρὰ μόνου Θεοῦ· τοῦτο γὰρ ὄντως ἁρμόδιον ἐλευθέρῳ, καὶ ἀληθεῖ τυγχάνει βασιλεῖ· καὶ τοῖς μὲν αἰτοῦσι δίδου, καὶ στέργε τούτους, τοὺς δὲ διδόντας ἧττον ἀποδέχου· τούτοις μὲν γὰρ ὅλος ὁ σκοπὸς, τὴν χάριν ἀντιλαβεῖν· ἐκείνοις δὲ ἅπασα σπουδὴ, τὴν χάριν ἀνταποδοῦναι, εἰ μὲν ἔχουσιν, ἀνθρωπίνην, εἰ δὲ μὴ ἔχουσι, πολλαπλασίαν παρὰ τοῦ Θεοῦ.

## *Περὶ Εὐγενείας.*

### Κεφ. νή.

Ἰδρίζει τὴν τοῦ σώματος εὐγένειαν ἐσχάτως, ὁ τὴν τῆς ψυχῆς εὐγένειαν μὴ κεκτημένος· καὶ αὐτὸς οὖν σὺν τῇ τοῦ σώματος βασιλικῇ εὐγενείᾳ, κτῆσαι καὶ τὴν τῆς ψυχῆς ἀκροτάτην εὐγένειαν· ἐκείνη μὲν γάρ ἐστι φυσικὴ, καὶ ἄμισθος, αὕτη δὲ προαιρετικὴ, καὶ ἔμμισθος· καὶ τίμα μὲν, καὶ ἀποδέχου μὴ τοὺς εὐγενεῖς τῷ σώματι, ἀλλὰ τοὺς κεχαριτωμένους τῷ πνεύματι· οὐ γὰρ, ὁμοίως τοῖς ἄλλοις ζώοις, καὶ ὁ ἄνθρωπος ὀφείλει γυμνὴν ἔχειν τὴν τοῦ σώματος εὐγένειαν· ἵππου μὲν γὰρ εὐγένεια, τὸ σοβαρόν τε καὶ εὐσταθὲς, κυνὸς δὲ, τὸ ὑλακτικόν τε καὶ κυνηγετικὸν, καὶ τῶν ἄλλων ζώων ὁμοίως· ἀνθρώπου δὲ

τὸ τὴν ψυχὴν ἔχειν παντοίαις κεκοσμημένην ἀρεταῖς· τῶν μὲν γὰρ σωμάτων κόσμος, κάλλος, καὶ ῥώμη, καὶ εὐεξία· τῶν δὲ ψυχῶν λόγος, καὶ τρόπος ἀγαθὸς, καὶ τῶν ἀρετῶν ἡ τελείωσις.

*Περὶ ὑπομονῆς.*

Κεφ. νθ'.

Μηδέποτε πρὸς Θεὸν ἀγανακτήσεις, τέκνον, ἐν οὐδενί. τοῦτο γὰρ πολλάκις οἶδεν ἡ μικροψυχία γεννᾶν· ἀλλ' εὐχαρίστως ἅπαντα δέχου τὰ περιπίπτοντα, καὶ πᾶσιν ἔπου ἀνενδοιάστως, οἷς ἂν θέλῃ ὁ Θεὸς γίνεσθαι περὶ σέ· ἂν χαίρειν, χαῖρε· ἂν εὐημερεῖν, εὐημέρει· ἂν πάλιν δυστυχεῖν, δυστύχει· πᾶσιν εἶκε, πᾶσιν ἀρέσκου, μόνης δὲ τῆς ἁμαρτίας μακρύνου· ταύτην γάρ σε μόνην καταδέχεσθαι οὐ χρή· οὐ δὲ γὰρ ἐκ Θεοῦ, ἀλλ' ἐξ ἀπροσεξίας ἐπιγίγνεσθαι εἴωθε· μήτε οὖν, εὐτυχῶν, ἐπαρθῇς, μήτε γοῦν δυστυχῶν, ὑπεραλγήσεις· εἰ μὲν γὰρ μακροθύμως φέρων, ἐπὶ πᾶσιν εὐχαριστήσεις τοῖς ἀνιαροῖς, καὶ τὸν τῆς ὑπομονῆς πάντως ἀπολήψῃ μισθόν· εἰ δὲ σεαυτὸν τρύχων, ἐναντιώσῃ τῇ περὶ σὲ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ ἄκων πάθοις, τῇ Προνοίᾳ φερόμενος, καὶ οὐδὲν μὲν προσωφελήσεις σαυτὸν, μᾶλλον δὲ καὶ τὸν τῆς ὑπομονῆς προσαπολέσεις μισθόν.

*Περὶ παιδείας.*

Κεφ. ξ'.

Βασιλικώτατόν ἐστιν ἔργον, μὴ μόνον τὰ ἑαυτοῦ τὸν Βασιλέα σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ὑπηκόων ἐπισκοπεῖν· οὐ γὰρ ἀρκεῖ τὸ ἑαυτὸν ἀγαθὸν παρέχειν τοῖς ὑπὸ χεῖρα, ἀλλὰ καὶ τῆς ἰδίας ἀρετῆς τοὺς παῖδας καταλιμπάνειν εἰκόνας· ὥσπερ γὰρ ἀγαθοὺς παῖδας ἐκτρέφων,

ἅπασαν τὴν βασιλείαν εὐεργετεῖ, οὕτως ὁ πονηροὺς καὶ ἀπαιδεύτους ἐῶν, ἅπασαν τὴν πολιτείαν ἀδικεῖ. Πείθου οὖν τέκνον, τοῖς πατρικοῖς σου λόγοις, ἵνα καὶ σεαυτὸν ὠφελήσῃς, καὶ τὴν βασιλείαν εὐοδώσῃς, καὶ ἐμοὶ χάριν τῆς παιδείας τὴν ἀγαθὴν μνήμην χαρίσῃ.

*Περὶ Γλωσσαλγίας.*

Κεφ. ξά.

Ἄκουε πάντα, καὶ παρὰ πάντων μάνθανε· ἀλλὰ τὰ μὲν ἀποδέχου, τὰ δὲ ἀποστρέφου· καὶ ἀποδέχου μέν, ὅσα σοι ὄφελος, κα τιμὴν περιποιεῖται, καὶ τοῖς ὑπηκόοις οὐδὲν λυμαίνεται. ἀποστρέφου δὲ, ὅσα καὶ τοὺς ὑπηκόους βλάψει, καὶ σὲ μηδὲν ὀφελήσει· γλῶσσα γὰρ δολία, ἐὰν ἔχῃ τὸν συνεργάτην δυνάμενον, πολλῶν κακῶν αἰτία ἑαυτῇ τε, καὶ τοῖς ἑπομένοις γενήσεται· στόμα δὲ εὔφημον, σὺν ἀληθείᾳ διαλεγόμενον, πολλὰ τούς τε ἀκροωμένους, καὶ τὸν κεκτημένον ὀνίνησι· θέλε οὖν μὴ τοῖς κακοῖς χαίρειν, ἀλλὰ τοὺς ἀγαθοὺς ἀποδέχεσθαι, καὶ εἰρηνεύειν μὲν τὸ ὑπήκοον, ἀλλὰ μὴ κατ' ἀλλήλων ὀτρύνεσθαι· οὗ γὰρ μάχαι καὶ ἔριδες, ἐκεῖθεν μακρύνεται ὁ Θεὸς· οὗ δὲ εἰρήνη, καὶ ἀγάπη, καὶ ὁμόνοια, καὶ τοῖς εἰρηνεύουσιν εὐίλατον, καὶ ἐγγὺς τὸ θεῖον ταῦτα παριστᾷ, καὶ τοῖς εἰρηνοποιοῖς τὴν υἱοθεσίαν τοῦ Θεοῦ προξενεῖ.

*Περὶ ἀγαθοῦ τρόπου.*

Κεφ. ξβ'

Στέφανον Βασιλείας τὴν ἀγαθὴν ὁρίζου συνήθησιν, δι' ἧς κοσμήσεις σεαυτὸν μᾶλλον, ἢ τοῖς μυρίοις ἄλλοις ἐγκαλλωπίσμασιν· ὁ γὰρ πλοῦτος ἄπιστόν τι χρῆμα, καὶ εὐόλισθον, ἡ δὲ δόξα παρέρχεται, τὸ δὲ κρά-

τος ἀπέρχεται, καὶ αἱ ἡδοναὶ διαῤῥέουσι· μόνος δὲ ὁ ἀγαθὸς τρόπος εἰς αἰῶνας συμπαρεκτείνεται, καὶ ἀθάνατόν σε ποιήσει, τῇ μνήμῃ ἀλεξιφάρμακον, ὥσπερ τὴν σὴν ἀρετὴν τοῖς μετὰ σὲ χαριζόμενος, καὶ πάντας καὶ ἐπαινέτας, καὶ μιμητὰς τῆς σῆς πολιτείας ποιούμενος.

*Περὶ τοῦ κρατεῖν τῶν ἡδονῶν.*

## Κεφ. ξγ'.

Ἴσθι, τέκνον ἐμὸν, ὡς τότε σε κατὰ τὴν ἀλήθειαν βασιλέα ὁρίσονται, ὅταν μὴ μόνον τῶν ὑπηκόων κρατῇς, ἀλλὰ καὶ τῶν ἡδονῶν ἁπασῶν ἐπικρατῇς· ἔστω γάρ σοι στέφανος, τῆς βασιλείας σύμβολον, ἀλλ' ἔστω καὶ δικαιοσύνη τῷ πράγματι σύνδρομος· πορφύρα δέ σε κοσμήσει, ἐὰν ἡ σωφροσύνη ταύτῃ συνεπανθήσῃ· καὶ τῶν ποδῶν σε τὸ ἐρυθρὸν τιμήσει ὑπόδημα, ἐὰν αὐτοῖς τὴν φλόγα τοῦ τύφου καταπατήσῃς· ἐκεῖνα μὲν γὰρ πρόσκαιρόν σοι τὴν Βασιλείαν χαρακτηρίζει· ταῦτα δὲ καὶ τῆς αἰωνίου κολάσεως ῥύσεται, καὶ τὴν ἀθάνατόν σοι προξενεῖ βασιλείαν.

*Περὶ λόγου τελείου.*

## Κεφ ξδ'.

Λόγου τοῦ τελειοτάτου πάντων ἐν ἀνθρώποις λίαν ἐπιμελοῦ· δι' αὐτοῦ γὰρ ἡ ἐπίγειος βασιλεία ἐξεικονίζει τὴν ἐπουράνιον τάξιν, καὶ ἁρμονίαν· λόγος γὰρ ἡγεμονεύει τῶν ἀνθρωπίνων πραγμάτων, οὗ περιαιρεθέντος, συμπεριαιρεῖται τὰ ἡμέτερα· Κτῆσαι οὖν τοῦ λόγου τὸ χρῆμα μὴ ἐνδεὲς, ἀλλὰ τέλειον· οὐδὲ γὰρ κυβερνήτῃ πιστευτέον τοῦ σκάφους τὴν σωτηρίαν, εἰμὴ καλῶς κυβερνᾷν ἐξεπίσταται· οὔτε δὲ βασιλεῖ βασιλικώτατα κρατεῖν, εἰμὴ τοῦ λόγου τὴν ἄσκησιν τοῦ πρακτικωτάτου

διεξέρχεται· λέοντι μὲν τὸ ἀρχικὸν ἐν θηρίοις, ὡς ὁ λόγος, ἡ δύναμις, ἀετῷ δὲ ἐν πετεινοῖς γὰρ τὸ ὑψιπετὲς καὶ δραστήριον· ἀνθρώπῳ δὲ κατὰ γῆν ὁ λόγος τὴν ἐξουσίαν χαρίζεται.

*Περὶ τοῦ μὴ ἐπαίρεσθαι.*

Κεφ. ξέ.

Ἐπὶ νίκαις ὑπεναντίων μηδέποτε ἐπαρθῇς, μηδὲ ἐπὶ πολεμίων συμφοραῖς γαυρίαμα κτήσῃ, μηδὲ ἐπιχαρῇς ἐπὶ πτώσει ἐχθρῶν σου, μηδὲ ἐγγελάσῃς δυστυχίαν ἑτέρου, μηδὲ ἐπικροτήσῃς ἐπ' ἀπωλείᾳ ἀνθρώπου· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον· ὅρα οὖν τοὺς πρὸ σοῦ, καὶ τότε μαθήσῃ τὰ μετὰ σέ· πολλὰ γὰρ οἶδεν ὁ βίος πράγματα ἀμείβειν, καὶ τῶν παρελθόντων τὰ πάθη τοῖς νῦν παροῦσιν ὑπάρχει διδασκαλία· μὴ οὖν μέγα ἐπαρθῇς, φήσιν, ἵνα μὴ μεῖζον πέσῃς· ἀλλ' οὐδὲ τῶν κατορθουμένων σοι τροπαίων μηδὲν ὅλως ἴδιον λογίσῃ, καὶ οὐδέποτε τῶν ἀπευκτέων πειραθήσῃ· ἀλλ' ἐπιδάκρυε μὲν ταῖς ἀλλοτρίαις συμφοραῖς, συμπάθει δὲ πάσχουσιν ἀνθρώποις, ἄνθρωπος ὢν καὶ αὐτός· τὰς δὲ ἐπὶ ταῖς νίκαις πανηγύρεις ἀνατίθει μόνῳ τῷ Θεῷ εὐχαρίστως, ἵνα καὶ ἐν ταῖς εὐτυχίαις δυστυχῶν, καὶ ἐν ταῖς δυστυχίαις εὐτυχῶν, τὸ ἄνθρωπος εἶναι μὴ ἀπολέσῃς.

*Περὶ ἀναγνώσεως Γραφῶν*

Κεφ. ξς'.

Ἵνα δέ σου τὸ ἦθος διὰ πάντων κοσμήσῃς, μὴ κατόκνειε τὰς τῶν παλαιῶν διεξέρχεσθαι γνώμας· πολλὰ γάρ ἐν αὐταῖς εὑρήσεις τὰ χρήσιμα· καὶ πλέον πάντων τά τε Σολομώντεια, τά τε Ἰσοκράτεια· εἰ βούλει, καὶ τὰ τοῦ Ἰησοῦ τοῦ Σειρὰχ διαμελέτα βουλεύματα

καὶ διδάγματα, ὡς ἐκεῖθεν καὶ πολιτικὰς καὶ βασιλικὰς ἀρετὰς δυνάμενος ἀναλέξασθαι· τὰ γὰρ ἄλλα πάντα τῆς θεοπνεύστου Γραφῆς σωτήρια λόγια συναναπνέεσθαί σοι πάντως ἐπάναγκες· ἐπὰν δὲ τέλειος γένῃ τὴν φρόνησιν, κἀμὲ τὸν βασιλέα, καὶ πατέρα, καὶ παιδευτὴν εὐφρανεῖς, καὶ αὐτὸς τότε νουθετεῖν ἑτέρους ἀξιωθήσῃ, καὶ τὸ οἰκεῖον τέλος, ἄνθρωπος ὢν, μᾶλλον ἐπιγνώσῃ, ὅτι οὐδεὶς ἀνθρώπων ἀναμάρτητος· οὐδεὶς ἀνθρώπων τὴν τῶν βεβιωμένων διαφεύξεται κρίσιν· οὐδεὶς ἀνθρώπων οἶδε τοῦ βίου τὸ ἄδηλον τέλος.

ΤΕΛΟΣ.

# ΠΙΝΑΞ

## ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.


Περὶ Παιδεύσεως. Κεφ. ά. 8
» Πίστεως. » β΄. 9
» Τιμῆς ἱερέων. » γ΄. 9
» Κρίσεως καὶ ἀνταποδόσεως. » δ΄. 10
» Ἐλεημοσύνης. » έ. 10
» Ἐπιμελείας καὶ ἐγρηγόρσεως. » ς΄. 11
» Συναναστροφῆς χρησίμων ἀνδρῶν. » ζ΄. 11
» Ἀρετῆς. » ή. 11
» Ἐπιθυμίας. » θ΄. 12
» Τῆς τῶν τρόπων ἀρετῆς. » ί. 12
» Σωφροσύνης. » ιά. 13
» Φίλων πιστῶν. » ιβ΄. 13
» Ἀνδρίας καὶ φρονήσεως. » ιγ΄. 14
» Ταπεινοφροσύνης. » ιδ΄. 14
» Φρονήσεως. » ιέ. 15
» Ἀληθείας καὶ ψεύδους. » ις΄. 15
» Μελέτης τῶν θείων λόγων. » ιζ΄. 16
» Βουλῆς. » ιή. 16
» Ἁγνείας. » ιθ΄. 17
» Τιμῆς γονέων. » κ΄. 17
» Δικαιοσύνης. » κά. 18
» Εὐεργεσίας. » κβ΄. 18
» Φίλων. » κγ΄. 19
» Ὑπεροψίας χρημάτων. » κδ΄. 19
» Μέθης » κέ. 20
» Κτήσεως φίλου » κς΄. 20
» Πλούτου καὶ πλεονεξίας » κζ΄. 21
» Μακροθυμίας » κή. 21
» Ἀληθείας καὶ ψεύδους. » κθ΄. 22
» Ἀρχῆς » λ΄. 22
» Βουλῆς καὶ σκέψεως. » λά. 23
» Εὐνομίας. » λβ΄. 23
» Σκαιῶν ἀνδρῶν. » λγ΄. 24
» Ἐλέους. » λδ΄. 24
» Ἀγάπης φίλων » λέ. 25
» Λόγου καὶ σιωπῆς. » λς΄. 25
» Ἐλεημοσύνης. » λζ΄. 26
» Τοῦ, ὅτι πρόσκαιρα τὰ τῇδε πάντα. » λή. 26
» Ἐπιμελείας. » λθ΄. 27
» Φυλακῆς. » μ΄. 27
» Τῆς ἐπουρανίου βασιλείας. » μά. 28
» Μνήμης Θεοῦ. » μβ΄. 28
» Δωροληψίας. » μγ΄. 29
» Περὶ ἀδικίας. » μδ΄. 29
» Θνητότητος καὶ ἀθανασίας. » μέ. 30
» Ἀρχόντων. » μς΄. 31
» Εἰρήνης. » μζ΄. 31
» Ἐπαίνου. » μή. 32

Περὶ Προσοχῆς. » μθ'. 32
» Συμπαθείας. » ν'. 32
» Ἐπιεικείας. » να'. 33
» Ἀντιχάριτος. » νβ'. 33
» Κάλλους σώματος » νγ'. 34
» Ἰατρείας. » νδ'. 34
» Συκοφαντῶν. » νε. 35
» Μελέτης γραφῶν » νς'. 35
» Εὐεργεσίας » νζ'. 35
» Εὐγενείας. » νή. 36
» Ὑπομονῆς. » νθ'. 37
» Παιδείας. » ξ'. 37
» Γλωσσαλγίας, » ξά. 38
» Ἀγαθοῦ τρόπου. » ξβ'. 38
» Τοῦ Κρατεῖν τῶν ἡδονῶν. » ξγ'. 39
» Λόγου τελείου. » ξδ'. 39
» Τοῦ μὴ ἐπαίρεσθαι. » ξέ. 40
» Ἀναγνώσεως γραφῶν. » ξς'. 40